Ἀντέχειν. δικαίοις ἀντέχειν οὐ ῥᾴδιον Aloadæ I. πῶς ποτε πῶς δύσμορος ἀντέχει; P. 176. χεῖρ᾽ ἀντέχοντα κρατὸς C. 1650. ἴστω τε, καὐτὸς ἀντέχου P. 893. κέρδους ἀντέχεσθαι Creusa IV. 2.

Ἀντήλιος. οἱ δ᾽ ἑσπέρους ἀγκῶνας, οἱ δ᾽ ἀντηλίους ζητεῖτε Aj. 805.

Ἀντήρης. ἀντήρεις στέρνων πλάγας E. 89.

Ἀντί. ἀνθ' ὧν R. 264. πτωχὸς ἀντὶ πλουσίου R. 455. ἀντὶ τῶν εἰρημένων ἴσ' ἀντάκουσον R. 543. ἀντὶ τοῦ δὴ παῖδά μ' ὠνομάζετο; R. 1020. οὐκ ὡς τάχος τις τοῦδ' ἀποστρέψει χέρας; Δύστηνος, ἀντὶ τοῦ; R. 1155. χώρας λέλειπται μοῦνος ἀντὶ σοῦ φύλαξ R. 1417. κεκλαυμέναι πρὸς οἶκον ἵξεσθ' ἀντὶ τῆς θεωρίας R. 1491. ἀντὶ τοῦ φύσαντος εἱλέσθην θρόνους καὶ σκῆπτρα κραίνειν C. 448. αἰτοῦ σύ γ' αὐτὸς, κεἴ τις ἄλλος ἀντὶ σοῦ C. 488. ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν ψυχὴν τάδ' ἐκτίνουσαν C. 498. ἀντὶ παίδων τῶνδε, καὶ ψυχῆς, πάτερ, ἱκετεύομεν C. 1326. μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας φίλον νομίζει A. 182. τὴν ἄτην ὁρῶν στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας A. 186. ἀνθ' ὧν ἔχεις σὺ τῶν ἄνω βαλὼν κάτω A. 1068. ἕως τις ἀντὶ παρθένου γυνὴ κληθῇ A. 148. ἀντὶ τοῦ θνήσκων ὁ θὴρ ἐμοὶ παρέσχ' εὔνοιαν; T. 709. οὐκ ἄν τις αὔτ' ἔμαρψεν ἄλλος ἀντ' ἐμοῦ Aj. 444. δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανεὶς Aj. 1020. ὑμεῖς τε μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας παρέστατε Aj. 1183. ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σὰ Aj. 1261. χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσθαι νεκρὸν P. 430. πῶς ἂν ἀντ' ἐμοῦ τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον P. 794. ἀντὶ τῶνδε τῶν ὅπλων P. 802. ἀντ' ἀδελφοῦ τἀμὰ Μενέλεω κτανὼν E. 537. εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου E. 582. ἀνθ' ὅτου τὰ νῦν αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις E. 585. ἀντὶ φιλτάτης μορφῆς σποδὸν E. 1158.

Ἀντιάζειν. ἀλλ' ἀντιάζω μή με καταλίπῃς P. 809. ἀντιάζω, κατάσχες ὀργὴν E. 1009. φλέγει με περιβόητος ἀντιάζων Ἄρης R. 192. οὔτε του τάφου ἀντίασας E. 869. καί σ' ἀντιάζω, πρός τ' ἐφεστίου Διὸς Aj. 492.

Ἀντιβαίνειν. βιασθεὶς πολλὰ, κἀντιβὰς E. 575.

Ἀντιγόνη. τέκνον τυφλοῦ γέροντος Ἀντιγόνη C. 1. τί δ' ἔστι, τέκνον Ἀντιγόνη C. 311. Ἀντιγόνη, σὺ δ' ἐνθάδε φύλασσε πατέρα C. 507. ὦ φιλτάτη, λέγ' Ἀντιγόνη C. 1415. πῶς εἰδὼς ἀντιλογήσω τήνδ' οὐκ εἶναι παῖδ' Ἀντιγόνην; A. 378. τὸν παγκοίταν ὅθ' ὁρῶ θάλαμον τήνδ' Ἀντιγόνην ἀνύτουσαν A. 805. ἀχνύμενος ἥκει μόρον Ἀντιγόνης A. 629.

Ἀντιδιδόναι. ἀπάτα πόνον οὐ χάριν ἀντιδίδωσιν ἔχειν C. 232. ἕνα νέκυν νεκρῶν ἀμοιβὸν ἀντιδοὺς ἔσει A. 1067.

Ἀντιδρᾶν. πεπονθὼς ἠξίουν τάδ' ἀντιδρᾶν C. 923. θέμις σέ γ' ἔσται κεῖνον ἀντιδρᾶν κακῶς C. 1191. παθὼν μὲν ἀντέδρων C. 271.

Ἀντίθυρος. βᾶτε κατ' ἀντιθύρων E. 1433.

Ἀντικύρειν. πρώταισιν ὑμῖν ἀντέκυρσ' ὁδοιπορῶν C. 99. ὅτῳ μήτ' Ἄρης, μήτε πόντος ἀντέκυρσεν C. 1680. ἀντέκυρσα, δοξάζων μὲν οὔ P. 545.

Ἀντιλέγειν. ἐξισωτέον τὸ γοῦν ἴσ' ἀντιλέξαι R. 409.

Ἀντιλογεῖν. πῶς εἰδὼς ἀντιλογήσω τήνδ' οὐκ εἶναι παῖδ' Ἀντιγόνην A. 377.

Ἀντίλοχος. θανὼν Ἀντίλοχος αὐτῷ φροῦδος P. 425.

Ἀντίλυρος. καναχὰν θείας ἀντίλυρον μούσας T. 645.

Ἀντίος. ἄδεια μὲν, ἀντία δ' οἴσω T. 123. ἀνδρὸς ἀντίον μολεῖν T. 787.

Ἀντιοστατεῖν. τὸ πνεῦμα νῦν γὰρ ἀντιοστατεῖ P. 640.

Ἀντίπαλος. ἀντιπάλῳ δυσχείρωμα δράκοντι A. 125.

Ἀντιπάσχειν. κείνων ὕπο δρῶν ἀντιπάσχω χρηστὰ P. 584.

Ἀντιπέμπειν. πέμψασιν ἡμῖν ἀντέπεμψεν R. 306. οἰκούρι' ἀντέπεμψε τοῦ μακροῦ χρόνου T. 542.

Ἀντίπετρος. ἀντιπέτρου βήματος C. 192.

Ἀντίπλευρος. ἀντίπλευρον κῆπον Εὐβοίας Aeg. I. 3.

Ἀντιπλήξ. στόνῳ βρέμουσιν ἀντιπλῆγες ἀκταὶ A. 592.

Ἀντίποινος. θυγατρὸς ἀντίποινα E. 592.

Ἀντίπρωρος. τάδ' ἀντίπρωρα δή σοι βλέπειν πάρεστ' ἐναργῆ T. 223.

Ἀντίρροπος. ἀντίρροπον ἄχθος λύπης E. 120.

Ἀντίσπαστος. ἀδαγμὸς ἀντίσπαστος T. 772. ἀντίσπαστα πηκτίδος συγχορδία Mys. IV. 2.

Ἀντίσταθμος. ὡς πατὴρ ἀντίσταθμον

τοῦ θηρὸς ἐκθύσειε τὴν αὐτοῦ κόρην E. 571.

Ἀντίσχειν. ὄμμασι δ' ἀντίσχοις τάνδ' αἴγλαν P. 830.

Ἀντιτείνειν. τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται A. 714.

Ἀντιτίειν. ἀντιτίσειν αὖθις, ἂν λυπούμεθα Aj. 1086.

Ἀντιτρέπειν. ἀντέτρεπες, ὅ τι καὶ μύσῃ T. 1010.

Ἀντίτυπος. ἀντίτυπα δ' ἐπὶ γᾷ πέσε A. 134. στόνος ἀντίτυπος P. 693.

Ἀντίφονος. ἀντίφονον κορέσαι στόμα P. 1156. ἀντιφόνους δίκας E. 248.

Ἀντιφωνεῖν. οὐ γὰρ εἴχομεν οὐδ' ἀντιφωνεῖν A. 271. παρέσχες ἀντιφωνῆσαι T. 1116. ἀντιφωνεῖ δεινὸν ἄρρητόν τ' ἔπος Aj. 773. μή μ' ἀντιφωνεῖ μηδὲν P. 1065. πόλλ' ἀντιφωνεῖς E. 1501.

Ἀντιχαίρειν. ἦλθε Νίκα τῷ πολυαρμάτῳ ἀντιχαρεῖσα Θήβᾳ A. 149.

Ἀντλεῖν. πατρῴαν κτῆσιν Αἴγισθος δόμων ἀντλεῖ E. 1291.

Ἀντλία. εἰς ἀντλίαν, εἰς πρῷραν, εἰς πρύμναν P. 482.

Ἄντρον. ἄντρον εἰσορᾶν P. 27. ἀνά τ' ἄντρα καὶ πέτρας R. 478. κνυζεῖσθαί τ' ἐξ ἄντρων C. 1571. τηλεπόροις ἐν ἄντροις τράφη A. 983. παραλά τ' ἄντρα, καὶ νέμος ἐπάκτιον Aj. 413. τίς αὖ παρ' ἄντροις θόρυβος ἵσταται βοῆς; P. 1263.

Ἄντυξ. ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων Aj. 1030. ἐξ ἀντύγων ὤλισθε E. 746.

Ἀνυμέναιος. Μοῖρ' ἀνυμέναιος C. 1222. ἄκλαυτος ἄφιλος, ἀνυμέναιος A. 876. ἄλεκτρον ἀνυμέναιον A. 917. ἄλεκτρα γηράσκουσαν ἀνυμέναιά τε E. 962.

Ἀνύμφευτος. ματρὸς ἔχοντες ἀνύμφευταν γονὰν A. 980. ἀνύμφευτος αἰὲν οἰχνῶ E. 166.

Ἄνυμφος. ἄλεκτρ' ἄνυμφα γὰρ ἐπέβα μιαιφόνων γάμων ἁμιλλήματα E. 492. φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς E. 1183.

Ἀνύτειν. τὸν παγκοίταν ὅθ' ὁρῶ θάλαμον τήνδ' Ἀντιγόνην ἀνύτουσαν A. 805. τοιαῦθ' ἑλίσσων ἤνυτον σχολῇ βραδὺς A. 231. εὐδαίμων ἀνύσει P. 720. κακὰν ἐλπίδ' ἔχων ἔτι μέ ποτ' ἀνύσειν τὸν ἀπότροπον ἄϊδηλον Ἅιδην Aj. 607. ἠνύσατ' ἐκτοπίαν φλόγα πήματος R. 166. Ἀπόλλων οὔτ' ἐκεῖνον ἤνυσε φονέα γενέσθαι πατρὸς R. 720. ἅ 'μοὶ Φοῖβος ἤνυσέν ποτε C. 454. μισθαρνοῦντες ἤνυσαν τάδε A. 302. τοὔπος ὡς ἄρ' ὀρθὸν ἤνυσας A. 1178. τοὐδ' ἐφημοσύνᾳ κοινὰν ἤνυσεν ἐς φίλους ἀρωγὰν P. 1145. πρὶν τάνδε πρὸς πόλιν ἀνύσειε T. 659. ἰοῖς ἀνύσειε γαστρὶ φορβὰν P. 712. τίνος, ὦ παῖδες, χρείας ἀνύσαι; C. 1754. πῶς ἐμήσατο πρὸς θανάτῳ θάνατον ἀνύσασα μόνα T. 888. τοιάδ' ἀνύσαντες ἔργα E. 212. οἵαν ἀνθ' οἵων θυμάτων ἐπί μοι μελέῳ χάριν ἠνύσω T. 998.

Ἄνω. κἀπὶ γῆς ἄνω R. 416. τοὺς ἄνω κλάζοντας ὄρνις R. 966. ἐπ' ἦμαρ ἄυξων ἄνω C. 1455. μετοικίας δ' οὖν τῆς ἄνω στερήσεται A. 890. ἀνθ' ὧν ἔχεις μὲν τῶν ἄνω βαλὼν κάτω A. 1068. τοῖς ἄνω θεοῖσιν A. 1072. τοὺς δ' ἄνω τρέπων ἔσφαζε κἀρράχιζε Aj. 298. φυσῶντ' ἄνω πρὸς ῥῖνας Aj. 918. σύριγγες ἄνω φυσῶσι μέλαν μένος Aj. 1412. ἄνω P. 814. αἰθέρος ἄνω P. 1092. τί δῆτ' ἔχεις ἄνω βλέποντα P. 1348. ἄνω βλαστεῖν βρύοντα θαλλὸν E. 421. ἐν θεοῖς ἄνω I. T. XXIII. 12. ἄνωθεν, ἢ κάτωθεν P. 28. πέτρας πεσὼν ἄνωθεν P. 1002. τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς E. 1058.

Ἀνώγω. ἄνωγεν ἡμᾶς Φοῖβος ἐμφανῶς R. 97. ἠνώγει ῥυτῶν ὑδάτων ἐνέγκειν λουτρὰ C. 1598. ἴθ' ὡς ἄνωγα, σὺν τάχει C. 904. ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν; Aj. 1364. τί δῆτ' ἄνωγας; P. 54. τί οὖν μ' ἄνωγας ἄλλο πλὴν ψευδῆ λέγειν; P. 100. σιγᾶν ἄνωγα E. 1058.

Ἀνώδυνος. ἀνώδυνον βλέποντα P. 883.

Ἀνώνυμος. ἆρ' ἀνώνυμος πέφυκεν; T. 377.

Ἀνωφελής. σκιὰν ἀνωφελῆ E. 1159.

Ἀνωφέλητος. ἀνωφέλητα φιτεύει τέκνα A. 645. τροφῆς ἀνωφελήτου E. 1144.

Ἄξενος. ναὸς ἄξενον ὅρμον P. 217.

Ἄξεστος. κῶλα κάμψον τοὐδ' ἐπ' ἀξέστου πέτρου C. 19.

Ἄξιος. ἄξιος φέρειν ἦν τῆσδε καὶ μείζω χάριν R. 763. ἀξία δέ που μαθεῖν κἀγὼ R. 770. θαυμάσαι μὲν ἀξία τύχη, σπουδῆς γε μέντοι τῆς ἐμῆς οὐκ ἀξία R. 778. ἄξιος γὰρ εἶ τῆς εὐεπείας

οὕνεκα R. 931. κεῖται παρ' Ἅιδῃ Πόλυβος, ἄξι' οὐδενὸς R. 972. χάριν γ' ἂν ἀξίαν λάβοις ἐμοῦ R. 1004. ὀργῆς ἧς ὅδ' ἄξιος C. 905. ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν C. 929. ἄξιαι δ' ἀμυνάθειν συμφοραὶ C. 1015. ἄξιος δὲ θαυμάσαι λόγος C. 1152. χρυσῆς ἀξία τίμης λαχεῖν A. 699. ἄξιος βλέπειν ἐς ὄνασιν ἀνθρώπων Aj. 399. παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν Aj. 924. πολλῶν ἂν ἥκεις, ὦ ξέν', ἄξιος τυχεῖν E. 797. ἀξίαν σιγὰν λόγων E. 1260. ἀξίαν χάριν Scyr. IV. 3.

Ἀξιοῦν. ἀξιῶ θανεῖν R. 944. ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων; C. 579. ἵν' ἀξιῶτον τοὺς φυτεύσαντας σέβειν C. 1377. οὐ μὴν σ' ἔνορκον ἀξιῶ θέσθαι P. 812. ποθῶν δ' οὐκ ἀξιοῖ φανῆναι E. 172. πεπονθὼς ἠξίουν τάδ' ἀντιδρᾶν C. 953. ἐνθακεῖν θρόνοις γονῇ πεφυκὼς ἠξίουν γεραιτέρᾳ C. 1294. οὐ γὰρ ἠξίου τοὺς μηδένας Aj. 1114. τόδε μέν οὔ ποτ' ἀξιώσω τρέσαι E. 1240. ἐς πόλιν γόους οὐκ ἀξιώσειν A. 1248. οὔ σ' ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων P. 62. ἀξιώσατ' ἀνδρὸς ἀθλίου θιγεῖν R. 1413. μή μ' ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν τῶν σῶν ὑπ' ἐχθρῶν Aj. 494. ἐμοῦ δὲ μήποτ' ἀξιωθήτω τόδε πατρῷον ἄστυ ζῶντος οἰκητοῦ τυχεῖν R. 1449. νῦν δ' ἀξιωθεὶς εἶσι C. 1352.

Ἀξίωμα. μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι C. 1451. τί δ' ἐστὶ τἀξίωμ', ἐφ' ᾧ καλεῖς; C. 1459.

Ἀξίως. ἐμοὶ γὰρ οὐδεὶς ἀξίως ἔσται γάμος μείζων φέρεσθαι, σοῦ καλῶς ἡγουμένου A. 697. ἀξίως ἔλεξας Alet. V. 1.

Ἀξύμβλητος. δέρκομαι φάτιν ἄφραστον, ἀξύμβλητον ἀνθρώπῳ μαθεῖν T. 696.

Ἄξων. ἔθραυσεν ἄξονος μέσας χνόας E. 745.

Ἀοιδή. ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν A. 883.

Ἀοιδός. σκληρᾶς ἀοιδοῦ δασμὸν R. 36. τίς γὰρ ἀοιδὸς, τίς ὁ χειροτέχνης ἰατορίας; T. 1003.

Ἄοικος. ἐπὶ ξένης χώρας ἀοίκους ἀπάτοράς τ' ἀλωμένας T. 300. ἄοικον εἰσοίκησιν P. 534.

Ἄοινος. νήφων ἀοίνοις ἀντέκυρσα C. 100.

Ἄοκνος. ἄοκνον μεγάλαν προσορῶσα δόμοισι βλάβαν T. 843. Τεῦκρον ἄοκνον Aj. 563.

Ἀολλής. οἵ τότ' ἀολλεῖς ἴσαν ἐς μέσον ἱέμενοι λεχέων T. 513. χωρῶμέν νυν πάντες ἀολλεῖς P. 1469.

Ἀπαγγέλλειν. τοῦτο πρῶτον δεῖ μ' ἀπαγγεῖλαι σαφῶς R. 959. ἤδη σ' ἀπορρίψουσαν ἃ 'πηγγελλάμην E. 1018.

Ἀπάγειν. ἀπάγετ' ἐκτόπιον ὅτι τάχιστ' ἐμὲ R. 1340. ἄπαγέ νύν μ' ἐντεῦθεν R. 1521. σὺ δ' ἡμᾶς ἄπαγε πρὸς δόμους A. 1087. ὀμόσας ἀπάξειν οἴκαδε P. 941. οἶδ' ἐγώ σε μή τινα ἐνθένδ' ἀπάξοντ' ἄνδρα C. 657. τί μ' ἄγετε, τί μ' ἀπάγεσθε P. 1029. τόνδ' ἀπάξομαι λαβὼν C. 860. καί μ' ἀπάξεται βίᾳ P. 988.

Ἀπαιδία. ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ' ἀπαιδία R. 1024.

Ἀπαίδευτος. ἀπαιδεύτων βροτῶν I. T. C. 11.

Ἄπαις. τὰς ἄπαιδας ἐς τὸ λοιπὸν οὐσίας T. 913.

Ἀπαΐσσειν. τοῦδ' ἐγὼ κλύων ἀπῇξα T. 190. ὄμμα καὶ φρένες διάστροφοι γνώμης ἀπῇξαν τῆς ἐμῆς Aj. 448.

Ἀπαιτεῖν. τά θ' ὅπλ' ἀπῄτουν τοῦ πατρὸς P. 362.

Ἀπαλέξειν. ἡμεῖς οὐδὲν σθένομεν πρὸς ταῦτ' ἀπαλέξασθαι Aj. 166.

Ἀπαλλαγή. πεπρωμένης οὐκ ἔστι θνητοῖς ξυμφορᾶς ἀπαλλαγὴ A. 1337.

Ἀπαλλάσσειν. οὐδ' ἀπαλλάσσει γενεὰν γένος A. 596. κόρα τάδ' οὐκ ἀπαλλάξει μόρου A. 769. ἡνίκ' ἂν κόπος μ' ἀπαλλάξῃ P. 880. μηδέ σ' ἐκ γόων ποτε τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοὶ E. 292. καὶ τοῦδ' ἀπαλλαγέντος A. 423. ἀπήλλαγμαι φόβου E. 782. ἐγὼ δ' ἐλεύθερος δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι κακῶν A. 400. κακὸν τὸ μέλλειν, ἀπηλλάχθαι δ' ἀκμὴ E. 1338. πόλις δέ σοι κακῶν ἄνατος τῶνδ' ἀπαλλαχθῇ χθονὸς C. 786. ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει A. 243. ἀπαλλαχθέντε τῶν μακρῶν λόγων E. 1335.

Ἀπαμᾶν. ἀπάμησον ὡς τάχιστα P. 749.

Ἀπαμπλακεῖν. στέργημα γὰρ δοκοῦσα προσβαλεῖν σέθεν ἀπήμπλακεν T. 1141.

Ἅπαξ. ἅπαξ μόνον R. 690. πολ-

λάκις τε, κοὐχ ἅπαξ R. 1275. ἅπαξ τὰ τοιαῦτ', οὐχὶ δὶς, χρήζω κλύειν C. 1208. σπείρων μόνον προσεῖδε, κἀξαμῶν ἅπαξ T. 33. ἀρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην P. 1239. ἅπαντα τἀδόκητα πρῶτον ἦλθ' ἅπαξ I. T. LXX. 7.

'Αππαπαπαί P. 745.

'Απαράσσειν. οὐδ' ἀπαράξαι κρᾶτα βίου θέλει μολὼν T. 1017.

'Απαρκεῖν. ταῦτ' ἂν ἀπαρκοῖ C. 1769.

'Απαρνεῖσθαι. φημὶ δρᾶσαι, κοὐκ ἀπαρνοῦμαι τὸ μὴ A. 443. κόμπος πάρεστι, κοὐκ ἀπαρνοῦμαι τὸ μὴ Aj. 96. οὔτ' εἶπε κρύπτειν οὔτ' ἀπηρνήθη ποτε T. 480. ἡ ναῦς γὰρ ἄξει, κοὐκ ἀπαρνηθήσεται P. 527.

"Απαρνος. ἄπαρνος δ' οὐδενὸς καθίστατο A. 435.

'Απαρχή. ἐκ μάχης ἄγοντ' ἀπαρχὰς θεοῖσι τοῖς ἐγχωρίοις T. 183. λείας ἀπαρχὴν, βοῦς T. 763.

"Απας. τὸ γὰρ τυχεῖν αὐτοῖς ἅπαντ' ἐνταῦθ' ἔνι R. 598. καλῶς ἅπαντα ταῦτ' ἂν ἐξείρητό σοι R. 984. ἐννέπων ὠθεῖν ἅπαντας τὸν ἀσεβῆ R. 1382. ἐξ ἅπαντος εὖ λέγει C. 807. ἅπαν καλὸν λέγειν νομίζων C. 1000. μὴ φῦναι τὸν ἅπαντα νικᾷ λόγον C. 1225. οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν A. 312. τοῦτ' ἔχων, ἅπαντ' ἔχω A. 498. Μηλιεὺς ἅπας λεὼς T. 194. ὁ τῶν ἁπάντων Ζεὺς πατὴρ T. 275. προσπτύσσεται χιτὼν ἅπαν κατ' ἄρθρον T. 771. τὴν πανυστάτην ὁδῶν ἁπασῶν T. 876. ἐκ δ' ἐλώπισε πλευρὰν ἅπασαν T. 928. λείας ἁπάσας Aj. 26. ἡμέρα κλίνει τε, κἀνάγει πάλιν ἅπαντα τἀνθρώπεια Aj. 131. ἅπαν μαθήσει τοὔργον Aj. 284. ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει τ' ἄδηλα, καὶ φανέντα κρύπτεται Aj. 646. ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ ἄλγιστον Aj. 992. γένους ἅπαντος ῥίζαν ἐξημημένος Aj. 1178. ἅπαντα δυσχέρεια P. 902. ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα κείνης διδακτὰ E. 343. κήρυσσέ μ' εἰς ἅπαντας E. 606. ἔν τε πανδήμῳ πόλει τιμᾷν ἅπαντας E. 983. ἅπαντα τῷ φοβουμένῳ ψοφεῖ Acris. I. 2. ἅπαντα τἀδόκητα πρῶτον ἦλθ' ἅπαξ I. T. LXX. 7.

'Απατᾶν. ὅπως Κρονίδαν ἀπάτασεν, *Soph.* οὐ λέγω T. 500. οἷ' ἠπάτηκας P. 929. τί γὰρ οὐκ ἐμοὶ ἔρχεται ἀγγελίας ἀπατώμενον E. 170. νῦν δ' ἠπάτημαι δύσμορος P. 949. ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη Aj. 807. τοσοῦτον ἠπατημένος κυρῶ R. 594.

'Απάτη. ἀπάταις ἀπάτα παραβαλλόμενα C. 230. ἀπάτα κουφονόων ἐρώτων A. 617. ἀπάτας λεχέων ὑπεραλγῶν A. 630. ὁρῶν μὲν αἰσχρὰς ἀπάτας P. 1136. ἀπάταισιν ἄνδρα καὶ δόλοις ἑλὼν P. 1228. ἁλόντ' ἀπάταις 'Αγαμέμνονα E. 125.

'Απάτωρ. ἀπόπτυστός τε, κἀπάτωρ ἐμοῦ C. 1383. ἀοίκους ἀπάτοράς τ' ἀλώμενας T. 300.

'Απαυδᾶν. ἀπαυδῶ τοῦτον, ὅστις ἐστὶ, γῆς μήτ' εἰσδέχεσθαι R. 236. ἐγὼ δ' ἀπαυδῶ P. 1293. τὸν ἄνδρ' ἀπηύδα Τεῦκρος ἔνδοθεν στέγης μὴ 'ξω παρήκειν Aj. 741.

"Απαυστος. τὰν ἄπαυστον αἰὲν ἐμοὶ δορυσσόντων μόχθων ἄταν Aj. 1186.

'Απεικάζειν. ὡς ἀπεικάσαι, πάρει T. 141. ἔχοιμ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι Achill. Amat. I. 2.

'Απειλεῖν. ὃν πάλαι ζητεῖς ἀπειλῶν R. 450. ποίῳ ξὺν ἔργῳ τοῦτ' ἀπειλήσας ἔχεις C. 817. χωρῶν ἀπείλει νῦν C. 1038.

'Απειλή. τίς δ' ἔστ' ἀπειλὴ, πρὸς κενὰς γνώμας λέγειν; A. 753. οὐκ οἶσθ' ἀπειλὰς C. 656. πολλαὶ δ' ἀπειλαὶ πολλὰ δὴ μάτην ἔπη θυμῷ κατηπείλησαν C. 659. ἐχειμάσθην τότε ταῖς σαῖς ἀπειλαῖς A. 391. ἐρέσσουσιν ἀπειλὰς δικρατεῖς 'Ατρεῖδαι καθ' ἡμῶν Aj. 251. ἔκηλά που τῶν τῆσδ' ἀπειλῶν ἡμερεύσομεν E. 787.

'Απείλημα. ὁ νοῦς ὅταν αὐτοῦ γένηται, φροῦδα τἀπειλήματα C. 660.

'Απεῖναι. ἄπεστι πλείω τοῦ καθήκοντος χρόνου R. 75. τῶν δὲ πραχθέντων τὰ μὲν ἄλγιστ' ἄπεστιν R. 1238. ποῦ γὰρ ὁ τλήμων αὐτὸς ἄπεστιν P. 161. ὡς ἄπεστ' ἐκεῖνος E. 519. τρίμηνον ἡνίκ' ἂν χώρας ἀπείη κἀνιαύσιος βεβὼς T. 165. ἐὰν δ' ἀπῇ τούτων τὸ χαίρειν A. 1169. οἵ τ' ὄντες, οἵ τ' ἀπόντες A. 1109. κοὐδέν ἐστ' ἀπὸν R. 1285. ὡς νῦν ἀπόντος ἱστόρει τί σοι φίλον E. 316. τί γὰρ κακῶν ἄπεσται R. 1496. ἀλλ' ἀπῆσθ' ἵν' οὐ σ' ἔδει P. 379.

Ἀπειπεῖν. ἀπεῖπεν ἐμοὶ κεῖνος C. 1760. ταύτην γ' ἰδὼν θάπτουσαν, ὃν σὺ τὸν νεκρὸν ἀπεῖπας A. 405. ἐπεὶ δ' ἀπεῖπε T. 791.

Ἀπειργάθειν. ἣν μή μ' ὁ κραίνων τῆσδε γῆς ἀπειργάθῃ C. 862.

Ἀπείργειν. ἐγὼ σφ' ἀπείργω Aj. 51. ἀλλ' ἀπείργοι θεὸς Aj. 949. οὔτοι σ' ἀπείργειν, οὐδ' ὅπως ἐῶ λεγεῖν, ἔχω Aj. 428. χρῆν γάρ σε μήτ' αὐτόν ποτ' ἐς Τροίαν μολεῖν, ἡμᾶς τ' ἀπείργειν P. 1364. ἔρωτ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει Ζεὺς Phædr. IV. 4. ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν Aj. 70. τίς ταῦτ' ἀπεῖρξεν; Aj. 1280.

Ἀπειρέσιος. μοῖραν ἀπειρεσίων πόνων Aj. 929.

Ἄπειρος. κακῶν γὰρ οὐκ ἄπειρος οὖσ' ἀκούσομαι A. 1191. γνώμης γὰρ οὐκ ἄπειρος A. 1250. νῦν δ' ἄπειρος εἶ T. 143. πάντων ἄπειρος τῶνδε T. 309.

Ἀπείρων. ἀπείρων, ὦ Κιθαιρὼν, οὐκ ἔσει R. 1088.

Ἀπελαύνειν. οἵ μ' ἀπήλασαν C. 93. πατέρα τόνδ' ἀπήλασας, κἄθηκας ἄπολιν C. 1556. γῆς ἐμῆς ἀπηλάθην C. 599.

Ἀπεννέπειν. τί τάδ' ἀπεννέπεις, γέρον C. 208.

Ἀπερεί. ἀπερεί τις ἔποικος ἀναξία E. 189.

Ἀπερίτροπος. παῖς Ἀγαμέμνονος ἀπερίτροπος E. 182.

Ἀπερύκειν. ἵνα πᾶσιν νόμος, φώνει, πρόσθεν δ' ἀπερύκου C. 169. ἀπερύκοι καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν Aj. 186.

Ἀπέρχεσθαι. ἐς τόδ' ἀπέρχει κεῦθος νεκύων A. 817. νόσος δ' ἐμοὶ ὀξεῖα φοιτᾷ, καὶ ταχεῖ' ἀπέρχεται P. 808. ὡς δ' ἀπήλθομεν C. 1647. ἄπελθε, μηδέ με φύλασσε C. 811. ἄπελθε, σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι E. 1031. ἀπελθεῖν τ' ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ C. 1165.

Ἀπευθύνειν. πρίν σε τήνδ' ἀπευθύνειν πόλιν R. 104. αἰχμαλωτίδας χέρας, δεσμοῖς ἀπευθύνοντα Aj. 71. πλήκτροις ἀπευθύνουσιν οὐρείαν τρόπιν Achæor. Conv. VI. 2.

Ἀπευνάζειν. σὺ γάρ μ' ἀπευνασθέντος ἐκκινεῖς κακοῦ T. 1243.

Ἀπεχθής. πατὴρ ὡς νῷν ἀπεχθὴς, δυσκλεὴς τ' ἀπώλετο A. 50.

Ἀπημελεῖν. εἴ μοί τι τόξων τῶνδ' ἀπημελημένον P. 651.

Ἀπήνη. ἀπήνη δ' ἦγε Λάϊον μία R. 753. ἐπὶ πωλικῆς ἀνὴρ ἀπήνης R. 802. ὕπτιος μέσης ἀπήνης εὐθὺς ἐκκυλίνδεται R. 812.

Ἀπία. γῆς ὅσοιπερ Ἀπίας πρῶτοι καλοῦνται C. 1303.

Ἀπιέναι. γῆς δ' ἄπεισιν R. 229. οἴκων τῶνδ' ἀποστραφεὶς ἄπει R. 431. ἄπειμι τοίνυν R. 444. εἰπὼν ἄπειμ', ὧν οὕνεκ' ἦλθον R. 447. οὔκουν ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει A. 244. ἀλλ' οὕτως ἄπει. Ἄπειμι τοίνυν E. 1050.

Ἀπιθεῖν. οὐκ ἀπιθήσω τοῖς σοῖς μύθοις P. 1446.

Ἄπιος. ἀπίαν γᾶν C. 1685.

Ἀπιστεῖν. οὐδέν σ' ἀπιστῶ καὶ δὶς οἰμῶξαι Aj. 940. μέγαλα πιστεύσαντ' ἐμοὶ, σμικροῖς ἀπιστεῖν T. 1232. μὴ 'πιχωρεῖν τοῖς ἀπιστοῦσιν τάδε A. 219. ἀπιστοῦσαν τοῖς βασιλείοισι νόμοις A. 381. οὐ θᾶσσον οἴσεις μηδ' ἀπιστήσεις ἐμοί; T. 1185. πῶς ἀπιστήσω λόγοις τοῖς σοῖσιν P. 1350. μηδ' ἀπιστήσῃς πατρὶ T. 1226. πόλεως ἀπιστήσασαν ἐκ πάσης μόνην A. 656. θεῶν ἀρὰ μενεῖ σ' ἀπιστήσαντα τοῖς ἐμοὶς λόγοις T. 1242.

Ἀπιστία. θνήσκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία C. 611.

Ἄπιστος. τοῖς πολλοῖσι γὰρ βροτῶν ἄπιστός ἐσθ' ἑταιρείας λιμὴν Aj. 683. ἐλπίδων ἄπιστον οἰκούρημα P. 868.

Ἀπλάκητος. κῆρες ἀπλάκητοι R. 472. ἀπλάκητον Ἅιδην T. 120.

Ἄπλατος. ἄπλατον θρέμμα κἀπροσήγορον T. 1095. αἶσ' ἄπλατος Aj. 256.

Ἄπλετος. ἐπί μοι μελέῳ βάρος ἄπλετον ἐμμέμονε φρὴν T. 984.

Ἄπληστος. ἄπληστος βοὴ E. 1336.

Ἁπλοῦς. οὐ γὰρ εἰς ἁπλοῦν ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει R. 519. μή μ' ἁπλῇ κτάνῃς ψήφῳ, διπλῇ δὲ, τῇ τ' ἐμῇ καὶ σῇ R. 606. ἐξ ἁπλῆς διπλῆ φανῇ χάρις T. 619. ἆρ' ἐστὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά; Aj. 277.

Ἄπλουτος. ἀνὴρ ἄπλουτος I. T. LVIII. 6.

Ἁπλῶς. τὴν ἁπλῶς δίκην I. T. LII. 3.

Ἀπὸ. ἄνδρα δ' ὠφελεῖν ἀφ' ὧν ἔχοι R. 315. ἀφ' ἡμέρας τῆς νῦν R. 351. ἀπ' οἰωνῶν μαθὼν R. 398. ἀρ' οἶσθ' ἀφ'

ὧν εἶ R. 415. *ἀπ' ἐμᾶς φρενὸς οὔ ποτ' ὀφλήσει κακίαν* R. 511. *οὐκ ἐρῶ Φοίβου γ' ἀπ' αὐτοῦ, τῶν δ' ὑπηρετῶν ἄπο* R. 712. *ἀφ' οὗ γὰρ κεῖθεν ἦλθε* R. 758. *ὠθεῖν ἀπ' οἴκων* R. 819. *ἀπ' ὠμοῦ ταῦτα δαίμονος* R. 828. *φύς τ' ἀφ' ὧν οὐ χρῆν* R. 1184. *ἀποσπάσας γὰρ εἱμάτων χρυσηλάτους περόνας ἀπ' αὐτῆς* R. 1269. *ἀπό τε φόνου ἔῤῥυτο* R. 1350. *ἀφ' αἵματος ὑμετέρου προφανεῖσα* C. 245. *φαιδρὰ γοῦν ἀπ' ὀμμάτων σαίνει με* C. 319. *ἀπὸ παντὸς ἂν φέρων λόγου δικαίου μηχάνημα ποικίλον* C. 762. *σπεύδειν ἀπὸ ῥυτῆρος* C. 900. *ἀφ' ὧν μὲν εἶ, φαίνει δίκαιος* C. 937. *ἀφ' οὗ μέσος στὰς, τοῦ τε Θορικίου πέδου* C. 1595. *πάλαι δὴ τἀπὸ σοῦ βραδύνεται* C. 1628. *τῶν ἀπ' Οἰδίπου κακῶν* A. 2. *ἀπ' ἔργων εὐκλεεστάτων φθίνει* A. 695. *γνώμη γὰρ εἴ τις κἀπ' ἐμοῦ νεωτέρου πρόσεστι* A. 719. *παῖς ἀπ' ἄλλου φωτὸς* A. 910. *οὐκ ἀπὸ γνώμης λέγεις* T. 388. *ἀπ' ἐμοῦ κτήσει χάριν* T. 471. *κακὸν μέγ' ἐκπραξασ' ἀπ' ἐλπίδος κάλης* T. 669. *πεῖρά τις ζητητέα τοίαδ' ἀφ' ἧς γέροντι δηλώσω πατρὶ* Aj. 471. *πετραίας ἀπὸ δειράδος φάνηθι* Aj. 697. *ἔλυσεν αἰνον ἄχος ἀπ' ὀμμάτων Ἄρης* Aj. 706. *πεσεῖν ἂν, κἂν ἀπὸ σμικροῦ κακοῦ* Aj. 1078. *μητρὸς εὐγενοῦς ἄπο τραφεὶς* Aj. 1228. *τἀπὸ τοῦδ' εἶναι φίλος* Aj. 1375. *μοῦνος ἀπ' ἄλλων* P. 183. *ἀφ' ὧν διέζων* P. 535. *τί μοι νεώτερον βούλευμ' ἀπ' Ἀργείων ἔχεις* P. 560. *ἀλλ' ἔστιν ὧν δεῖ, καίπερ οὐ πολλῶν ἄπο* P. 647. *οὐκ ἄλλοθεν ἔχει τύχᾳ τᾷδ' ἀπὸ μείζονος* P. 1098. *ἀπ' αἰσχρῶν ἀνατέλλοντα* P. 1138. *κεῖνος εἷς ἀπὸ πολλῶν ταχθεὶς* P. 1143. *κἀμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο δεδορκότ', ἐχθροῖς, ἄστρον ὣς, λάμψειν ἔτι* E. 65. *κἀπὸ τῶνδ' ἀρχηγετεῖν* E. 83. *κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης ἢ 'μοῦ φέρεται* E. 100. *ἀπὸ τῶν μετρίων ἐπ' ἀμήχανον ἄλγος ἀεὶ στενάχουσα διόλλυσαι* E. 141. *ἐχθρᾶς ἀπὸ γυναῖκος ἱστάναι κτερίσματα* E. 443. *εἷς ἀπὸ Σπάρτης* E. 701. *ἀφ' ὧν τε βλάστωσιν, ἀφ' ὧν τ' ὄνασιν εὕρωσιν* E. 1061. *ἕρπει δακρύων ὀμμάτων ἄπο* E. 1231. *σὲ πολλὰ δὴ ἀφ' ὧν ἔχοιμι λιπαρεῖ προὔστην χερὶ* E. 1378. *τελεῖται τἀπ' ἐμοῦ* E. 1464. *δυσσεβεῖς κακῶν ἄπο βλάστοντας* Alet. VII. 1. *ῥεῖ γὰρ ἀπ' ἄκρας Πίνδου, Λάκμου τ' ἀπὸ Περῤαιβῶν* Inach. XI. 2. *ἐκπνέουσι πνευμάτων ἄπο* Colch. V. 2. *ἀπ' αἰθέρος τε, κἀπὸ λυγαίου νέφους* Polyx. IV. *οὐρανοῦ δ' ἄπο ἤστραπτε* Teucr. II. *θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο* Tereus VII. 8. *θέρος θερισθὲν ξανθὸν αὐχένων ἄπο* Tyro XV. 4. *οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλὰ* I. T. XI. *τὸ κέρδος ἡδὺ, κἂν ἀπὸ ψευδῶν ἴῃ* I. T. LVIII. 4.

Ἀποβαίνειν. *μετάσταθ', ἀπόβαθι* C. 163. *ἀβάτων ἀποβὰς* C. 167.

Ἀποβάλλειν. *βιοτὰν ἀποβάλλειν* I. T. XXXIV. 4.

Ἀποβλάπτειν. *τοιοῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλου* Aj. 941.

Ἀποβλαστάνειν. *ματρὸς κοινᾶς ἀπέβλαστον ὠδῖνος* C. 533.

Ἀποβλέπειν. *οὐ χρὴ ποτ' ἀνθρώπων ὄλβον ἀποβλέψαι* I. T. XXXIV. 2.

Ἀπόγονος. *Λαΐου ἴστε τιν' ἀπόγονον;* C. 220. *σαί τ' ἄρ' εἴσ' ἀπόγονοι* C. 534.

Ἀποδημεῖν. *ἀποδημοῦντος πατρὸς* I. T. C. 12.

Ἀποδιδόναι. *ἀπόδος ὡς τάχος τὰ τόξ' ἐμοὶ* P. 924. *ἀπόδος, ἱκνοῦμαί σ', ἀπόδος, ἱκετεύω* P. 932. *ἀπόδος, ἄφες μοι, παῖ, τὰ τόξα* P. 981.

Ἀποδιδράσκειν. *ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν* Aj. 167.

Ἀποδύρεσθαι. *ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ* E. 1123.

Ἀποθαυμάζειν. *τοῦτ' ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον* C. 1586.

Ἀποικεῖν. *Κόρινθος ἐξ ἐμοῦ πάλαι μακρὰν ἀπῳκεῖτο* R. 998.

Ἀποικία. *οἳ τῆσδ' ἐρῶσι τῆς ἀποικίας* Laoc. III. 6.

Ἀποικίζειν. *καλῶ τὸ Ταρτάρου στυγνὸν πατρῷον Ἔρεβος, ὥς σ' ἀποικίσῃ* C. 1390. *αὔρα, ἥτις μ' ἀποικίσειεν ἐκ τόπων* T. 957.

Ἄποικος. *γῆς μ' ὅπως πέμψεις ἄποικον* R. 1517.

Ἀποιμώζειν. *εὐνῆς ἀποιμώζοντα τῆς κάτω φθορὰν* A. 1224. *ποῖ' ἀποιμῶξαι κακὰ δοκεῖς* P. 278.

Ἀποίνητος. *οὐ δαρὸν ἀποίνητοι* E. 1065.

Ἀποίχεσθαι. *ἐμοὶ πικρὰς ὠδῖνας αὐτοῦ προσβαλὼν ἀποίχεται* T. 42.

Ἀποκαίριος. τὸ γὰρ μαθεῖν οὐκ ἀποκαίριον P. 155.

Ἀποκαλεῖν. τὸν τοῦ μανέντος κἀπιβουλευτοῦ στρατοῦ ξύναιμον ἀποκαλοῦντες Aj. 727.

Ἀποκάμνειν. οὐ γὰρ δεῖ μ' ἀποκάμνειν C. 1776.

Ἀποκεῖσθαι. ἐν οἷς γὰρ χάρις ἡ χθονία ξύν γ' ἀποκεῖται, πενθεῖν οὐ χρὴ C. 1752.

Ἀποκλαίειν. χεροῖν ψαῦσαί μ' ἔασον, κἀποκλαύσασθαι κακὰ R. 1467. στόνον ἀντίτυπον βαρυβρῶτ' ἀποκλαύσειεν P. 694.

Ἀποκλείειν. οὐκ ἂν ἐσχόμην τὸ μὴ 'ποκλεῖσαι τοὐμὸν ἄθλιον δέμας R. 1388.

Ἀποκλίνειν. τοσοῦτον ὅσον δοκεῖν καὶ δόξαντ' ἀποκλῖναι R. 1192.

Ἀπολείπειν. ἀπὸ γὰρ βίου αὐτίκα λείψω P. 1158. ἀπὸ νῦν με λείπετ' ἤδη P. 1177. ἐμὲ μὲν ὁ πολὺς ἀπολέλοιπεν ἤδη βίοτος E. 185. ποθῶ τοῦ σοῦ θανοῦσα μὴ 'πολείπεσθαι τάφου E. 1169.

Ἄπολις. σὺ γάρ μ' ἔθηκας ἄπολιν C. 1537. ἄπολις, ὅτῳ τὸ μὴ καλὸν ξύνεστι A. 370. ἄφιλον, ἔρημον, ἄπολιν P. 1018.

Ἀπολλύναι. ἵν' ἐξ ἐκείνων, οἵ μ' ἀπωλλύτην, θάνω R. 1454. ἀλλά με λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδιστά μοι E. 1360. ἐδηλώθη φάτις τὸν ἀσεβῆ μ' ἀπολλύναι R. 1441. στέγαι φίλων ἔρημοι, τῶν δ' ἀπολλύντων πλέαι E. 1405. πᾶ μου ψαύεις; ποῖ κλίνεις; ἀπολεῖς μ', ἀπολεῖς T. 1009. ἀπό μ' ὀλεῖς, ἢν προσθίγῃς P. 817. ἀπολεῖς E. 831. ἄνους ἐφόνευσα κἀπώλεσα C. 547. ξυνόντα παῖσιν οἵ μ' ἀπώλεσαν P. 1356. ἐν δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν E. 26. αἵ μ' ἀπωλέσαν E. 208. ὥς μ' ἀπώλεσας θανὼν E. 808. ὥς μ' ἀπώλεσας, ἀπώλεσας δῆτα E. 1164. ὅπως μὲν ἔκ τῶνδ', οὐκ ἔτ' οἶδ', ἀπόλλυται R. 1251. τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται A. 714. ἐγὼ δ' ἀπόλλυμαι Aj. 343. ἄτιμος Ἀργείοισιν ὧδ' ἀπόλλυμαι Aj. 440. νῦν δ' ὁρῶν ἀπόλλυμαι Aj. 1001. ἀπόλλυμαι τάλας ἔτος τόδ' ἤδη δέκατον P. 311. ἡ τάλαιν' ἀπόλλυμαι E. 304. ἔα κακῶς αὐτοὺς ἀπόλλυσθαι κακοὺς P. 1369. ὑφ' ὧν δ' ἔπασχον, εἰδότων ἀπωλλύμην C. 274. δύσκλεως ἀπώλετο A. 50. ἐπεὶ οὐδέπω κακόν γ' ἀπώλετο P. 446. ἀπωλόμην δύστηνος E. 677. κακῶς ἀπώλου E. 1137. ἀπόλωλα, τέκνον P. 742. ἀπόλωλα τλήμων, προδέδομαι P. 923. οἴ μοι, πέπραμαι, κἀπόλωλα P. 977.

Ἀπόλλων. ὦ ἄναξ Ἄπολλον R. 80. ἱκανὸς Ἀπόλλων R. 377. ὁ μὲν οὖν Ζεὺς, ὅ τ' Ἀπόλλων ξυνετοὶ R. 498. Ἀπόλλων οὐκ ἐκεῖνον ἤνυσε φονέα γενέσθαι πατρὸς R. 720. οὐδαμοῦ τιμαῖς Ἀπόλλων ἐμφανὴς R. 909. ὦ Λύκει' Ἄπολλον R. 919. κατ' ὀμφὰς τὰς Ἀπόλλωνος C. 102. τὸν ἀγρευτὰν Ἀπόλλω στέργω μολεῖν ἀρωγὸν C. 1091. τὸν εὐφαρέτραν Ἀπόλλωνα προστάταν T. 209. Ἀπόλλων τάδ' ἦν, Ἀπόλλων, φίλοι R. 1329. ἄναξ Ἀπόλλων ὁ Δάλιος A. 703. Ἀπόλλων εἰ καλῶς ἐθέσπισε E. 1425.

Ἀπολύειν. ἔθανες, ἀπελύθης A. 1267. ποίῳ δὲ κἀπελύσατ' ἐν φοναῖς τρόπῳ A. 1314.

Ἀπολωβᾶν. μανίᾳ γὰρ ἁλοὺς ἡμὶν ὁ κλεινὸς νύκτερος Αἴας ἀπελωβήθη Aj. 217.

Ἀπόμαγμα. ἀπομαγμάτων ἴδρις Capt. 1.

Ἀπομακτὴρ. ἀπομακτῆρα μεγάλων ξυμφορῶν Capt. 1.

Ἀπομνύναι. ἀπώμοσ' ἁγνοῦ Ζηνὸς ὕψιστον σέβας P. 1289.

Ἀπονέμειν. σὺ δ' ἐν θρόνοισι γραμμάτων πτύχας ἔχων, ἀπόνειμον Achæor. Conv. V. 2.

Ἀπόνημι. μή ποτ' ἀγλαΐας ἀπονοίατο E. 211.

Ἄπονος. θείᾳ κἀπόνῳ τύχῃ C. 1585.

Ἀπονοσφίζειν. τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων R. 480. ὁ ξυλλαβών με, κἀπονόσφισας ὅπλων P. 979.

Ἀπόνως. φροντίδ' ἕξειν, κἀπόνως ἐλθεῖν πέλας C. 300.

Ἀπόξενος. ἀπόξενον ὅρμον R. 196.

Ἀποξενοῦν. φυγὰς ἀπεξενοῦτο E. 777.

Ἀποπαύειν. ἀλλ' ἀποπαύετε C. 1777. ἐρώτων δ' ἀπέπαυσεν Aj. 1206. οὐδέ ποτ' ἐκ καμάτων ἀποπαύσομαι E. 231.

Ἀποπερκοῦν. ἀποπερκοῦται βότρυς Thy. VI. 6.

Ἀπόπληκτος. ἀπόπληκτος ὧδ' ἔχει P. 731.

Ἀποπλήσσειν. ὑπτία δὲ κλίνομαι δείσασα πρὸς δμωαῖσι, κἀποπλήσσομαι A. 1189.

Ἀπόπτολις. κεῖθεν ᾗσθ' ἀπόπτολις R. 1000. ὦ ξένοι, ἀπόπτολις C. 207. ὃν ἀπόπτολιν εἴχομεν T. 649.

Ἄποπτος. ὡς πλεῖστον εἴη τοῦδ' ἄποπτος ἄστεος R. 762. εὐμαθὲς σοῦ, κἂν ἄποπτος ᾖς ὅμως φώνημ' ἀκούω Aj. 15. πλοῦν μὴ 'ξ ἀπόπτου σκοπεῖν P. 467. ἄποπτος ἡμῶν E. 1489.

Ἀπόπτυστος. σὺ δ' ἔρρ' ἀπόπτυστός τε, κἀπάτωρ ἐμοῦ C. 1383.

Ἀπορεῖν. ὅ τι λέξω δ' ἀπορῶ R. 486. ὡς ἐς τἄλλα τἀπορεῖν ἔχω T. 1245. ἀπορεῖς δὲ τοῦ σύ; P. 899.

Ἀπορθοῦν. σύ μοί γνώμας ἔχων χρηστὰς ἀπορθοῖς A. 636.

Ἄπορος. ἴσθι δὴ παρὰ φρόνιμον ἄπορον δ' ἐπὶ φρόνιμα πεφάνθαι με R. 691. τᾶς δειλαίας ἀπόρου φανείσας ἀλγηδόνος C. 513. τίς ἄρα με πότμος ἔρημος, ἄπορος, ἐπιμένει; C. 1716. παντόπορος, ἄπορος ἐπ' οὐδὲν ἔρχεται τὸ μέλλον A. 359. ἄπορα πυκινοῖς ἐνιδεῖν πάθη P. 854. ἄπορον ἔπος P. 898.

Ἀποῤῥεῖν. ἀποῤῥεῖ μνῆστις εὖ πεπονθότος Aj. 523. δαίμων δὲ τοῖς μὲν εὐτυχής, ἡμῖν δ' ἀποῤῥεῖ E. 1000.

Ἀπόῤῥητος. ἦ γὰρ νοεῖς θάπτειν σφ', ἀπόῤῥητον πόλει A. 44.

Ἀποῤῥίπτειν. ἀπωστὸς γῆς ἀποῤῥιφθήσομαι Aj. 1019. ἤδη σ' ἀποῤῥίψουσαν ἃ 'πηγγελλόμην E. 1018.

Ἀποῤῥοιβδεῖν. οὐδ' ὄρνις εὐσήμους ἀποῤῥοιβδεῖ βοὰς A. 1021.

Ἀποσβεννύναι. λαμπρὸν φῶς ἀποσβεννὺς γένους Scyr. I. 1.

Ἀποσκεδᾶν. τοῦτ' ἀποσκεδῶ μύσος R. 138.

Ἀποσκοπεῖν. ὀκνῶ τοι πρός σ' ἀποσκόπουσ', ἄναξ R. 746. σὺ δ' εἰς ἐκεῖνα μὴ τὰ νῦν ἀποσκόπει πατρῷα καὶ μητρῷα πήματα C. 1195.

Ἀποσπᾶν. πῶς σ' ἀποσπάσω πικροῦ τοῦδ' αἰόλου κνώδοντος; Aj. 1024. ἐλπίδος μ' ἀπέσπασας R. 1432. εἰ δέ τις στρατοῦ βίᾳ σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ Aj. 1175. ἀποσπάσας γὰρ εἱμάτων χρυσηλάτους περόνας R. 1268. ψιλὸν ὄμμ' ἀποσπάσας πρὸς ὄμμασιν τοῖς πρόσθεν ἐξοίχει C. 866. οἴχεται τέκνων ἀποσπάσας μου τὴν μόνην ξυνωρίδα C. 895. ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχει φρενὸς E. 809.

Ἀποσπαστός. κλεῖθρ' ἀνασπαστοῦ πύλης A. 1186.

Ἀποστάζειν. τᾶς μανίας δεινὸν ἀποστάζει ἀνθηρόν τε μένος A. 960.

Ἀποστατεῖν. μορφῆς δὲ τῆς σῆς οὐκ ἀπεστάτει πολὺ R. 742. οὔκουν πάρος γε σῆς ἀπεστάτουν φρενὸς A. 993.

Ἀποστείχειν. ἀποστείχουσ' ἔσω T. 695.

Ἀποστέλλειν. τὰ δὲ δίκαια καὶ τὰ χρήστ' ἀποστέλλουσ' ἀεὶ P. 450. καί σ' ἐς τὰ Τροίας πέδι' ἀποστελῶ βίᾳ P. 1297. καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν P. 125. τέταρτον Ἱππομέδοντ' ἀπέστειλεν πατὴρ Ταλαὸς C. 1317. τίς σ' ἀπέστειλεν βροτῶν E. 669. μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς E. 71. ὡς ἀπεστάλη R. 115. κατ' ὀμφὴν σὴν ἀποσταλεὶς πάρα C. 550.

Ἀποστενάζειν. τοῖά μοι πάννυχα καὶ φαέθοντ' ἀπεστέναζες Aj. 931.

Ἀποστερεῖν. τήνδ' ἀποστέρων φάτιν R. 323. ὧν ἐγὼ ἀπεστέρησ' ἐμαυτὸν R. 1381. μή μ' ἀποστερήσῃς τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι E. 1276. ἀπεστέρηκας τὸν βίον P. 931. τὸν βίον λαβὼν ἀπεστέρηκας P. 1283. Ἅιδης λαβὼν ἀπεστέρηκε E. 950. εἰ δ' ἀπεστερήμεθα, οὐκ ἔστιν ἀνὴρ κεῖνος Aj. 782. μόνη γάρ εἰμι, σοῦ τ' ἀπεστερημένη E. 813. λήθην τε, πάντ' ἀπεστερημένην, κωφήν, ἄναυδον Hybr. I. 1.

Ἀποστερίσκειν. Πολυνείκη θρόνων ἀποστερίσκει C. 376.

Ἀποστρέφειν. μὴ φρονῶν γ' ἀποστραφῇς R. 326. ἀποστραφεὶς ἄπει R. 431. οὐκ ὡς τάχος τις τοῦδ' ἀποστρέψει χέρας R. 1154. φώνησον, ὦ πάτερ, τι, μή μ' ἀποστραφῇς C. 1272. οὔτ' ἀποστρέψαι πάλιν ἔξεστι C. 1403.

Ἀποστροφή. κοὐκ ἔτ' ἔστ' ἀποστροφὴ C. 1473. οὐκ ἔστ' ἀποστροφὴ βροτοῖς τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν I. T. XXVII. 5.

Ἀπόστροφος. ὀμμάτων ἀποστρόφους αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν Aj. 69.

Ἀποστυγεῖν. ἄφιλον ἀποστυγεῖν, καὶ τὸ φίλον σέβεσθαι C. 187. οὐδὲ Μουσᾶν χοροί νιν ἀπεστύγησαν C. 692.

Ἀποσυλᾶν. ὅς μ' ἐξέωσε κἀπεσύλησεν πάτρας C. 1330.

Ἀποσώζειν. παύσοντας ἄλγους κἀποσώσοντας νόσου P. 1379.

Ἀποτέγγειν. μέλας ὄμβρος χαλάζης αἱματός τ' ἐτέγγετο R. 1279.

Ἀποτέμνειν. κρᾶτ' ἀπὸ, πάντα τ' ἄρθρα τέμω χερὶ P. 1207.
Ἀποτίβατος. ἀποτίβατος ἀγρία νόσος T. 1031.
Ἀποτίειν. μέγαλοι δὲ λόγοι τῶν ὑπεραύχων μεγάλας πληγὰς ἀποτίσαντες A. 1352.
Ἀπότιμος. τὸν ἀπότιμον ἐν θεοῖς θεὸν R. 215.
Ἀπότομος. ἀπότομον ὤρουσεν εἰς ἀνάγκαν R. 876.
Ἄποτος. ἄσιτος ἀνὴρ, ἄποτος Aj. 324.
Ἀπότροπος. ἰὼ σκότου νέφος ἐμὸν ἀπότροπον R. 1313. τὸν ἀπότροπον αἴδηλον Ἀΐδαν Aj. 607.
Ἀποτρύειν. φαμὶ γὰρ οὐκ ἀποτρύειν ἐλπίδα τὰν ἀγαθὰν χρῆναί σε T. 124. γᾶν ἄφθιτον ἀκαμάταν ἀποτρύεται A. 339.
Ἄπουρος. πάτρας ἄπουρον R. 194.
Ἄπους. ἐχίδνης, ἥ μ' ἔθηκεν ὧδ' ἄπουν P. 632.
Ἀποφάσκειν. οὔτε δοκοῦντ', οὔτ' αποφάσκοντ' R. 485.
Ἀποφέρειν. ὡς ἄλλην χθόνα δοκῶν ἀποίσειν R. 1179. καὶ τῶνδ' ἀποίσεις σῆμα T. 614.
Ἀποφεύγειν. καὶ πάρος ἀπεφύγετον σφῷν τὸ μὴ πιτγεῖν κακῶς C. 1739. εὖ γνῶθ', ὅτι σοι κῆρα τάνδ' ἀποφεύγειν P. 1166.
Ἀπόφημι. καὶ φημὶ κἀπόφημι C. 317.
Ἀποφθίνειν. τὸν βαλόντ' ἀποφθίσαι χρῄζων T. 711. ἔμελλέ σ' Ἕκτωρ, καὶ θανὼν, ἀποφθίσειν Aj. 1027. ἀποφθίνει τὰ χρηστὰ P. 457.
Ἀποφραγνύναι. εὖ γε στοχάζει, κἀποφράγνυσαι κύκλῳ τὸ πρᾶγμα A. 240.
Ἀποψύχειν. ὥστ' ἀποψύχειν βίον Aj. 1031.
Ἄπρακτος. οὐδὲ μαντικῆς ἄπρακτος ὑμῖν εἰμὶ A. 1035.
Ἀπρίξ. κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερὶ Aj. 310. τοῦ γε κερδαίνειν ὅμως ἀπρὶξ ἔχονται Creusa IV. 4.
Ἀπροδόκητος. ἀπροσδόκητον οὐδὲν εἴρηκας E. 1017.
Ἀπροσήγορος. δυσπρόσοιστον κἀπροσήγορον στόμα C. 1277. ἄπλατον θρέμμα κἀπροσήγορον T. 1095.
Ἀπρόσμαχος. Ἅιδου τρίκρανον σκύλακ', ἀπρόσμαχον τέρας T. 1100.
Ἀπροσόμιλος. ἄκρατες, ἀπροσόμιλον γῆρας ἄφιλον C. 1236.

Ἄπτεσθαι. θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται C. 955. σοῦ τοὐμὸν ἅπτεται δέμας C. 155. τῶν ἀρίστων ἅπτεται βουλευμάτων A. 178. οὐκ ἅψομαι τοῦδ' ἀνδρὸς C. 830. οὐ γάρ ἐσθ' ὅπως σπουδῆς δικαίας μῶμος ἅψεταί ποτε Thyest. II. 2. ἧπταί μου Aj. 1011.
Ἀπύειν. τὸν ὠμόθυμον εἴ ποθι πλαζόμενον λεύσσων ἀπύοι Aj. 887.
Ἄπυρος. ἄπυρον, ἀκτῖνός τ' ἀεὶ θερμῆς ἄθικτον T. 687.
Ἄπυστος. ἄπυστα φωνῶν, μηδὲ μηκύνων βοὴν C. 489.
Ἀπωθεῖν. νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον T. 30. γῆς ἀπωθεῖν πατρίδος R. 641. εἴ τις φίλον δείσας ἀπώσει τοὔπος R. 234. μὴ φιλότητ' ἀπώσῃς P. 1122. πόδος ἄρθρον ἀπῶσαι P. 1202. οὐδ' ἀπώσομαι τὸν αὐλὸν T. 216. ποιήσω κοὐκ ἀπώσομαι T. 1251. εἰ γάρ μ' ἀπώσει, σὺν κακῷ μέτει πάλιν E. 429. εἴ τις ὠφέλειά γ', οὐκ ἀπώσομαι E. 946. οἵ ἂν οὐδέ τις δόμων ἀπώσαιτο E. 1325. γῆς ἄτιμον τῆσδ' ἀπωσθῆναι βίᾳ R. 670.
Ἄπωθεν. φωνῆς δ' ἄπωθέν τις κλύει A. 1206.
Ἀπώμοτος. βροτοῖσιν οὐδέν ἐστ' ἀπώμοτον A. 388. δι' ὅρκων καίπερ ὢν ἀπώμοτος A. 395.
Ἀπωστὸς. ἀπωστὸς γῆς ἀποῤῥιφθήσομαι Aj. 1019.
Ἀπωτέρω. τῶν ἀπωτέρω φίλων R. 137.
Ἀραγμὸς. στέρνων ἀραγμοὺς C. 1609.
Ἀρὰ. οὐ μενεῖ τοιάσδ' ἀρὰς R. 295. μητρός τε, καὶ τοῦ σοῦ πατρὸς ἐλᾷ ποτ' ἐκ γῆς τῆσδε δεινόπους ἀρὰ R. 417. ἐμαυτὸν εἰς ἀρὰς δεινὰς προβάλλων R. 743. ἐμοὶ προσθήσας τάσδ' ἀρὰς C. 154. μὴ γὰρ αἵδε δαίμονες θεῖέν μ' ἄφωνον τῆσδε τῆς ἀρᾶς ἔτι C. 865. ἐμοί τ' ἀρὰς ἠρᾶτο καὶ τῷ 'μῷ γένει C. 952. τοίασδ' ἀρὰς σφῷν πρόσθε τ' ἐξανῆκ' ἐγὼ C. 1375. τάσδε συλλαβὼν ἀρὰς C. 1383. σφῷν γ' ἂν αἵδε τοῦ πατρὸς ἀραὶ τελῶνται C. 1408. ἐκ δ' ἀρὰς κακὰς ἠρᾶτο A. 457. θεῶν ἀρὰ μενεῖ σε T. 1241. ἔχε στυγερὰν ἀρὰν P. 1120. ὦ χθόνι' Ἑρμῆ καὶ πότνι' Ἀρὰ E. 111. τελοῦσ' ἀραὶ E. 1417.
Ἀραῖος. ὥσπερ μ' ἀραῖον ἔλαβες R. 276. ἀραῖος, εἴ σέ τι δέδρακ', ἀλοίμην

R. 644. μενῶν δόμοις ἀραῖος R. 1291. ἀραῖος, ἄγαμος A. 867. μενῶ σ' ἐγὼ, καὶ νέρθεν ὢν, ἀραῖος εἰσάει βαρὺς T. 1205. πρὸς ἀραίου Διὸς P. 1182.

Ἀρᾶσθαι. τοιαῦτ' ἀρῶμαι C. 1145. τὴν ἐγὼ θεοῖς ἀρῶμαι πημόνης ἄτερ λαβεῖν T. 48. πατρὸς κλύετε τοῦδ' ἀρωμένου C. 1407. ἐμοὶ πικρὰς ἀρὰς ἠρᾶτο C. 952. ἅπερ τοῖσδ' ἀρτίως ἠρασάμην R. 251. ἀραῖος, ὡς ἠράσατο R. 1291.

Ἀράσσειν. ἤρασσ' ἐπαίρων βλέφαρα R. 1276. ὄψεις ἀράξας αὐτὸς A. 52. ἕλκος ὀμμάτων ἀραχθὲν ἐγχέων ὑφ' αἱματηραῖς χείρεσσι A. 975. ὀνείδεσιν ἤρασσον Aj. 725. ἤρασσον κακοῖς τοῖς πᾶσιν P. 374.

Ἀρατός. ἀρατὸν ἕλκος A. 972.

Ἀργεῖν. θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται Iphig. I. 2.

Ἀργεῖος. Ἀργεῖος γεγὼς C. 1316. φρουδός ἐστιν Ἀργείων στρατὸς A. 15. κόρη γὰρ Ἀργεία γένος Acris. IV. 2. Ἀργείου ποταμοῦ Inach. XII. 2. βούλευμ' ἐπ' Ἀργείοις τόδ' ἦν Aj. 44. ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῆς Aj. 67. ὦ Σκαμάνδρου ῥοαὶ εὔφρονες Ἀργείοις Aj. 420. ἄτιμος Ἀργείοισιν ὧδ' ἀπόλλυμαι Aj. 440. ξυναρπασθεῖσαν Ἀργείων ὕπο Aj. 498. οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα Aj. 663. κυδάζεται τοῖς πᾶσιν Ἀργείοις Aj. 722. τοῖς ἄλλοισιν Ἀργείων πέλας ἴστω Aj. 774. Ἀργείοισι κηρύξαι Aj. 1240. ἄνδρ' ἄριστον Ἀργείων Aj. 1340. ἔχθιστος Ἀργείων ἀνὴρ Aj. 1383. πάντας Ἀργείους λαβεῖν P. 47. λύπην πᾶσιν Ἀργείοις βαλεῖς P. 67. Ἀργείων στρατὸς P. 420. ταῦτ' Ἀργείοισιν ἀμφὶ σοῦ βουλεύματ' ἐστὶ P. 554. βούλευμ' ἀπ' Ἀργείων P. 560. κατ' Ἀργείους ὕβριν Lacæn. II. 2. τὸν Ἀργείων τρόπον Ulyss. I. 2.

Ἀργής. τὸν ἀργῆτα Κολωνὸν C. 670. πέπλον ἔχριον ἀργῆτ' οἷος εὐείρου πόκῳ T. 677.

Ἀργία. κύβους τε, τερπνὸν ἀργίας ἄκος Naupl. VI. 4.

Ἀργινεφής. ὀπὸν ἀργινεφῆ Rhiz. I. 2.

Ἀργίπους. ἀργίποδας κριοὺς Aj. 237.

Ἀργολιστί. μῦθος γὰρ Ἀργολιστὶ συντέμνειν βραχὺς Ulyss. I. 1.

Ἄργος. τὸ κοῖλον Ἄργος βὰς φυγὰς C. 378. Ἄργος τὸ Καδμείων πέδον τιμῇ καθέξον C. 380. κατ' Ἄργος ὑμὶν ἐγγενής τίς ἐστιν; C. 1167. τὸν Ἄργους στρατὸν C. 1125. οὐδὲ νοστῆσαί ποτε τὸ κοῖλον Ἄργος C. 1387. στρέψαι στράτευμ' ἐς Ἄργος C. 1415. Ἀργόθεν βάντα A. 106. τὸ γὰρ παλαιὸν Ἄργος, οὑπόθεις, τόδε E. 4. Ἄργους γύαι Inach. II. 3. ὑποβὰς ἐνθένδ' εἰς Ἄργος Inach. II. 5.

Ἀργός. οὐκ ἐν ἀργοῖς οὐδὲ ταῦτ' ἐπραξάμην R. 287. κοὐκ ἦν ἔτ' ἀργὸν οὐδὲν, ὧν ἐφίετο C. 1605. γλῶσσαν μὲν ἀργὸν, χεῖρα δ' εἶχον ἐργάτιν P. 97.

Ἄργυρος. σὺν ἀργύρῳ ἐπράσσετ' ἐνθένδε R. 124. οὐδὲν γὰρ ἀνθρώποισιν, οἷον ἄργυρος, κακὸν νόμισμ' ἔβλαστε A. 295. ἐπ' ἀργύρῳ γε τὴν ψυχὴν προδοὺς A. 322.

Ἄρδην. χοαῖσιν ἄρδην τρισπόνδοισι A. 429. ἐς σκάφη πηδῶντος ἄρδην Ἕκτορος Aj. 1279. ἄρδην ἀνεῖλεν I. T. XXVI. 2.

Ἄρειν. ἐμέγ' ἃ στονόεσσ' ἄραρεν φρένας ὄρνις E. 147.

Ἀρέσκειν. σοὶ ταῦτ' ἀρέσκει A. 211. οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου Aj. 584. δεῖ μ' ἀρέσκειν τοῖς κάτω A. 75. ὅσοις τόδ' ἔστ' ἄρεσκον R. 274. οἶδ' ἀρέσκουσ' οἷς μάλισθ' ἀδεῖν με χρὴ A. 89. ἃ τοῖς πολλοῖσιν ἤρεσκεν κριταῖς Aj. 1243. τῷ τοῦτ' ἤρεσε; E. 409. ἐμοὶ τῶν σῶν λόγων ἀρεστὸν οὐδὲν, μηδ' ἀρεσθείη ποτέ A. 500.

Ἀρεστὸς. σοὶ δὲ ταῦτ' ἀρέστ' εἴη R. 1097. ἐμοὶ τῶν σῶν λόγων ἀρεστὸν οὐδὲν A. 500.

Ἀρετή. πάσας ἀρετᾶς λάφυρ' ἔχων T. 647. ἔργα μεγίστας ἀρετᾶς Aj. 619. νικᾷ γὰρ ἡ 'ρετή με τῆς ἔχθρας πολὺ Aj. 1357. ἀρετῆς ἕκατι P. 669. ἀθάνατον ἀρετὴν ἔσχον P. 1420. ἀρετῇ τε πρῶτος ἐκκριθεὶς στρατεύματος P. 1425. ἀρετῆς βέβαιαι δ' εἰσὶν αἱ κτήσεις μόναι Eriph. I.

Ἀρήγειν. μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας παρίστατ', ἀλλ' ἀρήγετε Aj. 1184. ἡ γὰρ Δίκη νιν εἷλεν, οὐκ ἐγὼ μόνη, ᾗ χρῆν σ' ἀρήγειν E. 529. ἀρήξατ' εἰσελθόντες Aj. 329. ἔλθετ', ἀρήξατε, τίσασθε E. 116. τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοις Aj. 1007.

"Αρηξις. ποίαν λάβω θεῶν ἄρηξιν, ἢ βροτῶν C. 829. πημάτων ἄρηξιν E. 876.

"Αρης. "Αρεά τε τὸν μαλερὸν R. 190. "Αρεος εὔβουλον πάγον C. 947. δεινὸς ὁ προσχώρων "Αρης C. 1064. καλῶ δ' "Αρη C. 1391. ὅτῳ μήτ' "Αρης, μήτε πόντος ἀντέκυρσεν C. 1678. πάταγος "Αρεος A. 125. μέγας "Αρης δεξιόσειρος A. 140. ἵν' ἀγχίπολις "Αρης A. 970. "Αρης οἰστρηθεὶς ἐξέλυσ' ἐπίπονον ἁμέραν T. 655. κρατοῦντ' ἐν "Αρει Aj. 614. ἔλυσεν αἰνὸν ἄχος ἀπ' ὀμμάτων "Αρης Aj. 706. ἔδειξ' ὅπλων "Ελλασι κοῖνον "Αρη Aj. 1196. ὅν κατά μεν βάρβαρον αἶαν φόνιος "Αρης οὐκ ἐξένισεν E. 96. κἂν γυναιξὶν ὡς "Αρης ξύνεστιν E. 1243. δυσέριστον αἷμα φυσῶν "Αρης E. 1385. φονία δὲ χεὶρ στάζει θυηλῆς "Αρεος E. 1423. πρὸς τὴν ἀνάγκην οὐδ' "Αρης ἀνθίσταται Thyest. I. τοὺς εὐγενεῖς γὰρ κἀγαθοὺς φιλεῖ "Αρης ἐναίρειν Phryg. I. 1. "Αρης γὰρ οὐδὲν τῶν κακῶν λογίζεται Phryg. I. 4. τυφλὸς γὰρ οὐδ' ὁρῶν "Αρης I. T. LVIII. 16. λιθόλευστον ἄρη ξυναλγεῖν Aj. 254.

"Αρθρον. ἄρθρα κεῖνος ἐνζεύξας ποδοῖν R. 718. ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν τὰ σὰ Aj. 1032. ἔπαισεν ἄρθρα τῶν αὐτοῦ κυκλῶν R. 1270. πλευραῖσιν ἀρτίκολλος, ὥστε τέκτονος χιτὼν, ἅπαν κατ' ἄρθρον T. 771. μάρψας ποδός νιν, ἄρθρον ᾗ λυγίζεται T. 781. ποδὸς ἄρθρον P. 1202. ἀπὸ πάντα τ' ἄρθρα τέμω χερὶ P. 1207.

'Αριθμεῖν. ἀριθμήσας βροτοὺς Phædr. VII. 1.

'Αριθμός. εἰ μὲν οὖν ἔτι λέξει τὸν αὐτὸν ἀριθμὸν R. 844. ταῦτ' οὐκ ἀριθμός ἐστιν, ὦ πάτερ, λόγων, ἀλλ' ἔργα δεινὰ C. 382. ὧν ἀριθμὸν ἐν νεκροῖς πλεῖστον δέδεκται Περσέφασσα A. 893. ἐτέων ἀριθμὸς Aj. 1186. εἰς ἀριθμὸν ἑξήκοντα δὶς Acr. XI. 4.

'Αριστεία. κρίνειν ἔμελλε κράτος ἀριστείας Aj. 443.

'Αριστεῖον. ἀριστεῖ' ἐκλαβὼν στρατεύματος P. 1429. γυμνὸν φανέντα τῶν ἀριστείων ἄτερ Aj. 465.

'Αριστερός. φρενόθεν γ' ἐπ' ἀριστέρ' ἔβας Aj. 183. ἐξ ἀριστερᾶς P. 20. ἐξ ἀριστερᾶς ὅδε "Ηρας ὁ κλεινὸς ναὸς E. 7. ἡνίαν ἀριστερὰν E. 743.

'Αριστεύειν. πάντ' ἀριστεύων χεροῖν, T. 488. πάντ' ἀριστεύσας δορὶ A. 195. τὰ πρῶτα καλλιστεῖ' ἀριστεύσας στρατοῦ Aj. 435. στρατοῦ τὰ πρῶτ' ἀριστεύσας Aj. 1300.

'Αριστεύς. ἐξ ἀριστεοῖν δυοῖν βλαστὼν Aj. 1304.

'Αριστόμαντις. ἀριστόμαντις "Ελενος P. 1338.

"Αριστος. βροτῶν ἄριστε R. 46. ἀνδρός γ' ἀρίστου R. 257. ὅπως τὰ τοῦ θεοῦ μαντεῖ' ἄριστα λύσομεν R. 407. ἄριστος εὑρίσκειν ἔφυς R. 440. ὑμεῖς δ' ἄριστ' εἰδεῖτ' ἂν R. 1046. τόνδ' ἄριστον ἄνδρα C. 1100. τὸν πάντ' ἄριστον Θησέα C. 1458. ὦ δίδυμα τέκνων ἄριστα C. 1693. τῶν ἀρίστων ἅπτεται βουλευμάτων A. 178. ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς A. 197. δέδοικα γὰρ μὴ τοὺς καθεστῶτας νόμους ἄριστον ᾖ σώζοντα τὸν βίον τελεῖν A. 1114. πάντων ἀρίστου φωτὸς T. 177. τῆς ἀρίστης μητρὸς ὠνομασμένος T. 1107. ἄριστ' ἂν ὀρθοῖτο Aj. 161. ἥκων γενεᾶς ἄριστος Aj. 637. ἄριστον 'Αργείων Aj. 1340. ὅσον χρὴ τοῖς ἀρίστοις ἄνδρασιν πονεῖν βροτοὺς Aj. 1380. ἄριστ' 'Οδυσσεῦ Aj. 1381. σφῷν δ' ὅπως ἄριστα συμφέροι θεὸς P. 627. ὁμοίους τοῖς ἀρίστοισιν P. 997. ἀρίστου πατρὸς ἔχθιστος γεγὼς P. 1284. μετὰ ζώντων ὅτ' ἦν, ἤκου' ἄριστα P. 1313. 'Ελλήνων ἕνα κριθέντ' ἄριστον P. 1345. πατρὸς πάντων ἀρίστου E. 366. σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι E. 1089. φερομέναν ἄριστα Διὸς εὐσεβείᾳ E. 1095. μάντις ὢν ἄριστος E. 1481. ἀρίστου πατρὸς γεγὼς Scyr. I. 2.

'Αριστόχειρ. ἀριστόχειρ Αἴας Aj. 935.

'Αρκάς. Παρθενοπαῖος 'Αρκὰς C. 1320. κύκλος 'Αρκάδος κυνῆς Inach. VI.

'Αρκεῖν. γῆς ἄνακτας ἀρκεῖ ταῦτά μοι διειδέναι C. 295. ὅτ' οὐκ ἔτ' ἀρκεῖ, τὴν μάθησιν ἄρνυμαι T. 713. ἐμοὶ μὲν ἀρκεῖ τοῦτον ἐς δόμους μένειν Aj. 80. οὐδ' ἔτ' ἀρκῶ E. 186. ἔνδον ἀρκείτω μένων Aj. 75. μόνας ἀρκεῖν ἔχειν C. 262. ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν ψυχὴν τάδ' ἐκτίνουσαν C. 497. ἐγὼ θεοῖς ὡς οὐδὲν ἀρκεῖν εἴμ' ὀφειλέτης ἔτι Aj. 590. οἶμαι μὲν ἀρ-

κεῖν σοί γε καὶ τὰ σὰ P. 339. πέφυκεν ἐσθλὸς, ὥστ' ἀρκεῖν φίλοις E. 322. ἀρκεῖν δοκεῖ μοι E. 1364. οὐκ ὑμὶν Ἅιδης μοῦνος ἀρκέσει A. 308. ἀρκέσω θνήσκουσ' ἐγὼ A. 547. ἀρκέσει καὶ ταῦτα T. 1218. ὡς οὐκ ἀρκέσει τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν Aj. 727. οὐκ ἀρκέσει ποθ' ὑμὶν Aj. 1242. μέγας λιμὴν αὐτὸς ἤρκεσεν παιδὶ καὶ πατρὶ πεσεῖν R. 1208. κἂν ψιλὸς ἀρκέσαιμι σοί γ' ὡπλισμένῳ Aj. 1123. οὐκ ὅστις ἀρκέσειεν P. 281. ἐγὼ 'φύλαξα, τοῦτό γ' ἀρκέσαι πάρα Aj. 535. ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς Aj. 439. σὺ πρῶτος, ὦ Ζεῦ, καὶ γὰρ εἰκὸς, ἄρκεσον Aj. 824.

Ἄρκεσις. τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις; C. 73.

Ἀρκτέος. ἀρκτέον γ' ὅμως R. 628. ἀλλ' ἀρκτέον τὸ πρᾶγμα Aj. 853.

Ἄρκτος. ἄρκτου στροφάδες κέλευθοι T. 130. ἄρκτου στροφὰς Naupl. V. 11.

Ἀρκτοῦρος. ἐξ ἦρος εἰς Ἀρκτοῦρον R. 1137.

Ἀρκύστατα. τίνων ποτ' ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις πέπτωχ' ὁ τλήμων; E. 1476.

Ἅρμα. ἁρμάτων ἐπιστάται E. 702. κτύπον κροτητῶν ἁρμάτων E. 714.

Ἁρματηλατής. ἁρματηλατῶν μέτα E. 700.

Ἁρμόζειν. εἰ μὴ τάδε χειρόδεικτα πᾶσιν ἁρμόσει βροτοῖς R. 901. τάδ' οὐκ ἐπ' ἄλλον βροτῶν ἐμᾶς ἁρμόσει ποτ' ἐξ αἰτίας A. 1318. τάδ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ E. 1293. ἕως ἂν ἀρτίχριστον ἁρμόσαιμί που T. 689. βάσει βάσιν ἁρμόσαι C. 199. σιγᾶν ἂν ἅρμοσαί σε τὸν πλείω λόγον T. 733. ὥσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ' ἔχων τούτοισι κοὐκ ἄλλοισιν ἁρμοσθήσεται C. 908. οὐκ ὥς γ' ἐκείνῳ τῇδέ τ' ἦν ἡρμοσμένα A. 570.

Ἁρμονία. ῥηγνὺς ἁρμονίαν χρυσοδέτου λύρας Thamyr. III. 3.

Ἁρμός. ἁρμὸν χώματος λιθοσπαδῆ A. 1216.

Ἀρνεῖσθαι. εἰ γὰρ οἶδά γ', οὐκ ἀρνήσομαι R. 571. οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν P. 118. ἐχθροὶ δὲ φύντες, ἀρνοῦνται στυγεῖν Aloadæ XI. 5.

Ἀρνήσιμος. ἐμοὶ δὲ τούτων οὐδέν ἐστ' ἀρνήσιμον P. 74.

Ἄρνησις. ἄρνησις οὐκ ἔνεστιν ὧν ἀνιστορεῖς R. 578. τῶνδ' ἄρνησις οὐκ ἔνεστί μοι E. 527.

Ἄρνυσθαι. τοιάδ' ἄρνυμαι A. 903. ὅτ' οὐκ ἔτ' ἀρκεῖ, τὴν μάθησιν ἄρνυμαι T. 713. καιρός τοι πάντων κατὰ γνώμην ἴσχων πολὺ παρὰ πόδα κράτος ἄρνυται P. 838.

Ἄροτος. μήτ' ἄροτον αὐτοῖς γῆν ἀνιέναι R. 270. τὸν μὲν παρελθόντ' ἄροτον T. 69. ὁπότε τελεύμηνος ἐκφέροι δωδέκατος ἄροτος T. 827.

Ἄροτρον. ἰλλομένων ἀρότρων ἔτος εἰς ἔτος A. 340.

Ἀροῦν. πατὴρ ἐφάνθην ἔνθεν αὐτὸς ἠρόθην R. 1485. τὴν τεκοῦσαν ἤροσεν R. 1497. ἐν Διὸς κήποις ἀροῦσθαι μόνον εὐδαίμονας ὄλβους Ion. I. 2.

Ἄρουρα. μητρῴαν δ' ὅπου κίχοι διπλῆν ἄρουραν, οὗ τε, καὶ τέκνων R. 1257. γήτης ὅπως ἄρουραν ἔκτοπον λαβὼν T. 32. ὑγρᾶς ἀρούρας βῶλον Aj. 1286.

Ἁρπάζειν. κρύσταλλον ἁρπάζουσι παῖδες ἀσταγῆ Achill. Amat. IV. 4. οἱ Ζηνὸς αἰετοὶ βορὰν φερεῖν νιν ἁρπάζοντες εἰ θέλουσι A. 1041. εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον, τὸ λοιπὸν ἁρπάσητε A. 311. οὐ γάμων ἔμπειρος, ἀλλὰ τοῦ 'πιόντος ἁρπάσαι C. 752. δέδορκά σε πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον Aj. 2. κλέψαι τε, χ' ἁρπάσαι βίᾳ P. 644.

Ἄρρητος. διδακτά τε, ἄρρητά τε R. 301. ἄρρητ' ἀρρήτων R. 465. ῥητὸν ἄρρητόν τ' ἔπος C. 1001. οὐκ ἐπ' ἀρρήτοις γε τοῖς ἐμοῖς λογοῖς A. 556. πῶς δῆτα λέγω λόγον ἄρρητον; Aj. 214. δεινὸν ἄρρητόν τ' ἔπος Aj. 773. δείπνων ἀρρήτων ἄχθη E. 203. τὰ μὲν λελεγμέν' ἄρρητ' ἐγώ σοι, κατελῆ φυλάξομαι E. 1012.

Ἀρρώξ. χέρσος ἀρρὼξ A. 250.

Ἄρσην. τῶν μὲν ἀρσένων μή μοι, Κρέων, πρόσθῃ μέριμναν R. 1459. οἱ μὲν ἄρσενες κατὰ στέγας θακοῦσιν ἱστουργοῦντες C. 339. ἐν δὲ κοῖνος ἀρσένων ἴτω κλαγγὰ T. 207. πολλὸν δ' ἄρσεν' ἐκτεμόνθ' ὁρῶ ἄγριον ἔλαιον T. 1198. κτύπος ἄρσην πόντου P. 1455. θῆλυς μὲν αὐτὸς, ἄρσενας δ' ἐχθροὺς ἔχων Atreus I. 2. Ἀχέροντος ἄρσενας χοὰς Polyx. II. 3.

Ἀρτακεύς. τί μέλλετ' Ἀρτακεῖς τε, καὶ Περκώσιοι I. T. XCVII.

Ἀρτάνη. χαλᾷ κρεμαστὴν ἀρτάνην R. 1266. πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον A. 54.

Ἄρτεμις. γαιάοχόν τ' ἀδελφεὰν Ἄρτεμιν R. 161. πυρφόρους Ἀρτέμιδος αἴγλας R. 207. Ἄρτεμιν Ὀρτυγίαν βοᾶτε T. 213. Ταυροπόλα Διὸς Ἄρτεμις Aj. 172. ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν E. 563. μὰ τὴν δέσποιναν Ἄρτεμιν E. 626. μὰ τάν γ' ἀδμήταν Ἄρτεμιν E. 1239.

Ἀρτηρία. πνεύμονός τ' ἀρτηρίας ῥοφεῖ ξυνοικοῦν T. 1056.

Ἄρτι. χνοάζων ἄρτι λευκανθὲς κάρα R. 742.

Ἀρτίκολλος. πέπλος πλευραῖσιν ἀρτίκολλος T. 770.

Ἀρτίπους. ἐγγὺς δ' ὅδ' αὐτὸς ἀρτίπους θρώσκει δόμους T. 58.

Ἀρτίχριστος. ἕως ἂν ἀρτίχριστον ἁρμόσαιμί που T. 689.

Ἀρτίως. ἐξέφηνεν ἀρτίως R. 243. ἀρτίως ἠρασάμην R. 251. ἀρτίως φανεῖσα R. 474. ἀρτίως μ' ἔχει ψυχῆς πλανήμα R. 726. προβάλλων ἀρτίως οὐκ εἰδέναι R. 745. ὅντιν' ἀρτίως μολεῖν ἐφιέμεσθα R. 1054. τὸν στρατηγὸν ἀρτίως A. 8. ἀρτίως θάψας A. 244. ἀρτίως ἄνουν πεφάνθαι A. 561. ἔχω μὲν ἐν χείρεσσιν ἀρτίως τέκνον A. 1297. ὧν ἔλεξεν ἀρτίως T. 346. ὅσ' ἀρτίως ἔδρων T. 666. ἀρτίως πεπαυμένην κακῶν Aj. 788. λόγους κλύοντες τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως Aj. 1321. ὥσπερ ᾖτου μ' ἀρτίως P. 764. λέγεις μὲν ἀρτίως E. 347. κλύουσαν ἀρτίως ὀνειράτων E. 481.

Ἄρυστις. τὰς ἀρύστεις ὧδ' ἔχων ἐκόμπασας I. T. XLV.

Ἀρχαιόγονος. ἀρχαιογόνων Ἐρεχθειδᾶν A. 981.

Ἀρχαιόπλουτος. ἀρχαιόπλουτα πατρὸς ἑδώλια E. 1393.

Ἄρχειν. ἄρχεις δ' ἐκείνῃ ταὐτὰ R. 519. ἄρχει τις αὐτῶν, ἢ 'πὶ τῷ πλήθει λόγος; C. 66. οὗτος γὰρ ἄρχει καὶ θεῶν T. 443. πέρα δίκης ἄρχω καθυβρίζουσα E. 522. ὧνπερ ἄρχεις ἄρχε Aj. 1107. ἄρχ' αὐτὸς ὥς σοι θυμὸς E. 552. ὁ Θήβας δ' ἐλελίζων Βακχεῖος ἄρχοι A. 159. καλῶς ἐρήμης γ' ἂν σὺ γῆς ἄρχοις μόνος A. 739. καλῶς μὲν ἄρχειν, εὖ δ' ἂν ἄρχεσθαι θέλοι A. 664. ἄλλῳ γὰρ ἢ μοι χρή γε τῆσδ' ἄρχειν χθονὸς A. 736. ἀρκτέον γ' ὅμως. Οὔ τοι κακῶς γ' ἄρχοντος R. 629. μέγας ἄρ' ἦν ἐκεῖνος ἄρχων χρόνος πημάτων Aj. 933. αὐτὸς ἄρχων Αἴας ἔπλει Aj. 1234. οἱ χερός, οὐ ποδός, οὔ τινος ἄρχων P. 860. εἰ δ' αὐτὸς ἦρχον, πολλὰ κἂν ἄκων ἔδρων R. 591. ἄρξεις τῆσδε γῆς R. 54. ἐμοῦ δὲ ζῶντος οὐκ ἄρξει γυνὴ A. 525. πάντως θανόντος γ' ἄρξομεν Aj. 1068. τοιοῦτος ὤν, ἄρξεις σὺ τοῦδε τοῦ κρέως Judic. Dearum I. ἄρξασά τι λυπηρὸν E. 552. ἐκ τοῦ κατ' ἄστυ βασιλέως τάδ' ἄρχεται C. 67. ἀρχόμεσθ' ἐκ κρεισσόνων A. 63. ἐκ τῶνδ' ἄρχομαι E. 264. οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ' ἔτι Aj. 1075.

Ἀρχέπλουτος. ἀρχέπλουτον, καὶ καταστάτην δόμων E. 72.

Ἀρχή. ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνήμεθα R. 49. ἀρχὴν βραχεῖαν ἐλπίδος R. 121. ἔχων μὲν ἀρχὰς R. 259. τῆσδέ γ' ἀρχῆς οὕνεκα R. 383. δὺξ ἀρχῆς φίλος R. 385. πῶς δῆτ' ἐμοὶ τυραννὶς ἡδίων ἔχειν ἀρχῆς ἀλύπου, καὶ δυναστείας, ἔφυ; R. 593. σὺ τῆσδ' ἔχων χθονὸς ἀρχὴν ἐφαίνου R. 737. τάν τε σὰν ἀθάνατον αἰὲν ἀρχὰν R. 905. ἀρχῆς λαβέσθαι, καὶ κράτους τυραννικοῦ C. 373. ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα A. 92. πρὶν ἂν ἀρχαῖς τε, καὶ νόμοισιν ἐντριβὴς φανῇ A. 177. ἁμαρτάνω γὰρ τὰς ἐμὰς ἀρχὰς σέβων; A. 744. πάρεδρος ἐν ἀρχαῖς θεσμῶν A. 797. τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ; Aj. 282. εἴπ' ἀπ' ἀρχῆς αὖθις Aj. 1097. σοὶ τόνδε κοσμῆσαι ἀρχῆς ἔκειτο θεσμὸς Aj. 1104. κατ' ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου P. 247. ἀρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην P. 1239. ἀρχὴν γυνὴ οὐκ ἄν ποθ', ὅν γ' ἔκτεινε, τῷδ' ἐπέστεφε E. 439. βρότειον ἀρχῆθεν γένος Androm. V. 3. *

Ἄρχων. ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον Aj. 668. ἄρχων δ' ἐμοὶ θεὸς ἔσται I. T. LXXXIX.

Ἀρωγή. οὐδ' ἔχων ἀρωγὰν P. 857.

Ἀρωγός. οὐδεὶς ἀρωγὸς R. 127. βέλε' ἀρωγὰ προσταθέντα R. 206. ἀρωγοὺς ξυμμάχους C. 1012. διπλᾶς ἀρωγὰς μολεῖν γᾶ τᾷδε C. 1094. τὸν θεὸν ποιούμενος ἀρωγὸν C. 1286. ναὸς

*Ἀρχηγετεῖν. E. 83.
Ἀρχηγέτης. R. 751.
Ἀρχηγός. C. 60.

ἀρωγοὶ τῆς Αἴαντος Aj. 201. ἰὼ γένος ναΐας ἀρωγὸν τέχνας Aj. 357. καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους Aj. 835. γῆθεν εὐμενῆ ἀρωγὸν ἐλθεῖν E. 454. σοί θ' ὑπουργήσων τάδε ἐμοί θ' ἀρωγὰ E. 462. κοινοτόκων, εὐπατριδᾶν τ' ἀρωγοὶ E. 859. γένου πρόφρων ἡμῖν ἀρωγὸς E. 1381.

Ἀρώσιμος. ἀρώσιμοι γὰρ χἀτέρων εἰσὶν γύαι A. 569.

Ἀσαφής. ταῦτ' ἄγαν αἰνικτὰ κἀσαφῆ R. 439.

Ἀσεβής. ὠθεῖν ἅπαντας τὸν ἀσεβῆ R. 1382. τὸν ἀσεβῆ μ' ἀπολλύναι R. 1441. οὐκ ἐξελᾶτε τὸν ἀσεβῆ τῆσδε χθονὸς C. 823.

Ἀσεπτεῖν. χρὴ δὲ τά γ' ἐς θεοὺς μηδὲν ἀσεπτεῖν A. 1350.

Ἄσεπτος. εἰ τῶν ἀσέπτων ἕρξεται R. 890.

Ἄσημος. ἄσημος οὐργάτης τις ἦν A. 252. πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν A. 1004. ἀσήμων ὀργίων μαντεύματα C. 1013. ἀθλίας ἄσημα βοῆς A. 1208. ἠχεῖ τις οὐκ ἄσημον T. 868.

Ἀσήμων. γόων γὰρ οὐκ ἀσήμονες φθόγγοι C. 1668.

Ἀσθενής. πόλιν ἑνὸς ποιῆσαι φωτὸς ἀσθενεστέραν C. 1033.

Ἀσία. ἔστι δ' οἷον ἐγὼ γᾶς Ἀσίας οὐκ ἐπακούω C. 695. Ἀσία μὲν ἡ ξύμπασα κλῄζεται Mys. III. 1.

Ἄσιτος. ἄσιτος νηλίπους τ' ἀλωμένη C. 349. ἄσιτος ἀνὴρ, ἄποτος Aj. 324.

Ἀσκεῖν. δίκαι' ἀσκοῦσαν πόλιν C. 913. ὃς ἀσκεῖ μὴ πρέποντ' αὐτῷ κακὰ T. 384. ζῶμα τοὐμὸν, οὐ χλιδαῖς ἠσκημένον E. 452. ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν E. 1024. ἠσκήμενον λόγῳ σῶμα E. 1217.

Ἀσκέπαρνος. βάθρον τόδ' ἀσκέπαρνον C. 101.

Ἄσκευος. οὐ ψιλὸν, οὐδ' ἄσκευον C. 1029. ἄσκευον αὐτὸν ἀσπίδων τε, καὶ στρατοῦ E. 36.

Ἀσκληπίδης. τῶν παρ' ἡμῶν τυγχάνων Ἀσκληπιδῶν P. 1333.

Ἀσκληπιός. ἐγὼ δ' Ἀσκληπιὸν πέμψω παυστῆρα σῆς νόσου πρὸς Ἴλιον P. 1437.

Ἄσκοπος. ἄσκοποι πλάκες C. 1681. τὸν ἄσκοπον χρόνον βεβὼς T. 246. πρᾶγος ἄσκοπον ἔχει περάνας Aj. 21. ἄσκοπα κρυπτά τ' ἔπη P. 1011. ἄσκοπος ἃ λώβα E. 864. εἴργασαι δ' ἔμ' ἄσκοπα E. 1315.

Ἄσμενος. ἄσμενος πόθῳ T. 757. ἀσμένῃ δ' ἐμοὶ ἦλθεν T. 18. ἄσμενοί μ' ὡς εἶδον P. 271.

Ἀσπάζεσθαι. ἐμὲ πᾶς ἀσπάζεται R. 596. ἐν κύκλῳ στρατὸς ἐκβάντα πᾶς ἠσπάζετο P. 357.

Ἄσπετος. ἄσπετόν τι θαῦμα T. 963.

Ἀσπιδίτης. ἀσπιδίτην ὄντα, καὶ πεφραγμένον Naupl. II. 1.

Ἀσπιδοῦχος. ὡς ἀσπιδοῦχος ἢ Σκύθης Naupl. II. 2.

Ἀσπίς. ἄχαλκος ἀσπίδων R. 191. πρὸ πολλῶν ἀσπίδων C. 1524. ἀσπίδ' εἰ λάβοις Aj. 1122. ἄσκευον ἀσπίδων E. 36. ἀσπὶς γὰρ ἡμῖν, λίγδος ὥς, πυκνὸν πατεῖ Capt. II.

Ἀσπιστήρ. ἄνδρες ἀσπιστῆρες, ἐνάλιος λεὼς Aj. 565.

Ἄσπλαγχνος. φύσιν ἄσπλαγχνος Aj. 472.

Ἆσσον. στείχουσαν ἡμῶν ἆσσον C. 312. ἆσσον ἔρχεται Κρέων ὅδ' ἡμῖν C. 722. ἆσσον αὖθις ὧδε προσπολουμένας C. 1098. ἕρποντι μᾶλλον ἆσσον A. 1210. ἴτ' ἆσσον ὠκεῖς A. 1215. τύμβου προσεῖρπον ἆσσον E. 900.

Ἀσταγής. κρύσταλλον ἀσταγῆ Achill. Amat. I. 4.

Ἀστάκειος. τὸν Ἀστάκειον παῖδα Achæor. Conv. VIII. 6.

Ἀστακτί. ἀστακτὶ λείβων δάκρυον C. 1251. ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις στένοντες ὡμαρτοῦμεν C. 1646.

Ἄστειπτος. χθὼν βροτοῖς ἄστειπτος P. 2.

Ἀστένακτος. ἀστένακτος αἰὲν ἑσπόμην κακοῖς T. 1076. ἀστένακτος κἀδάκρυτος T. 1202.

Ἀστεργής. πείσεται γὰρ ἄλλο μὲν ἀστεργὲς οὐδὲν R. 229. ἀστεργῆ θεᾶς ὀργὴν Aj. 776.

Ἀστεροπητής. ἀστεροπητής πυρφόρος P. 1198.

Ἀστιβής. ἀστιβὲς ἄλσος C. 126. χῶρον ἔνθ' ἂν ἀστιβῆ κίχω Aj. 657.

Ἀστίτης. βοτῆρα νικᾶν ἄνδρας ἀστίτας Alex. I. 2. οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει Alex. I. 1.

Ἄστολος. ἄστολος χιτὼν Hel. IV. 1.

Ἄστομος. ἄστομοι πῶλοι E. 724.

Ἀστός. ἀστὸς εἰς ἀστοὺς τελῶ R. 222.

ηὗδας τι τοῖσδ' ἀστοῖσιν R. 392. ἀστῶν μέγιστος τῶν ἐκεῖ R. 776. ἔξεστι μηδ' ἀστῶν τινὰ δόμοις δέχεσθαι R. 817. ποίας γὰρ ἀστῶν ἥξετ' εἰς ὁμιλίας R. 1489. μανθάνειν γὰρ ἥκομεν ξένοι πρὸς ἀστῶν C. 13. ἀστοῖς ἴσα χρὴ μελετᾶν C. 171. φέρων ὄνησιν ἀστοῖς C. 288. ἀστῶν ὕπο πάντων κελευσθεὶς C. 737. ἠπιστάμην ξεῖνον παρ' ἀστοῖς ὡς διαιτᾶσθαι χρεὼν C. 928. ὡς οὔτ' ἂν ἀστῶν τῶνδ' ἂν ἐξείποιμί τῳ C. 1528. ἀστοῖσιν ἐκκεκηρύχθαι A. 27. ἄτην ὁρῶν στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας A. 186. ὦ πάντες ἀστοὶ A. 1183. καὶ τοῦ τόδ' ἀστῶν ἢ ξένων μαθὼν λέγεις; T. 187. πολλοῖσιν ἀστῶν T. 423. τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται E. 975.

'Αστραπή. ὦ πυρφόρων ἀστραπᾶν κράτη νέμων R. 200. οὐρανία γὰρ ἀστραπὴ φλέγει πάλιν C. 1466. οὐ, τὰν Διὸς ἀστραπὰν δαρὸν οὐκ ἀποίνητοι E. 1063. ἀστραπήν τιν' ὀμμάτων ἔχει Oenom. III. 2. βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς Teucr. II. 2.

'Αστράπτειν. πᾶς γὰρ ἀστράπτει χαλινὸς C. 1067. οὐρανοῦ δ' ἄπο ἤστραπτε Teucr. I. 2.

"Αστρον. τὴν Κορινθίαν ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα R. 795. ἰὼ πῦρ πνεόντων χοράγ' ἄστρων A. 1148. τοῦ κατ' ἄστρα Ζηνὸς αὐδηθεὶς γόνος T. 1107. μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη E. 19. παμφεγγεῖς ἄστρων ῥιπὰς E. 105. ἄστρων μέτρα Naupl. VI. 8. ἐχθροῖς ἄστρον ὡς, λάμψειν E. 66.

"Αστροφος. ἀφέρπειν ἄστροφος C. 490.

"Αστυ. ἄστυ Καδμεῖον R. 35. τοὔδ' ἄποπτος ἄστεος R. 762. οὐδ' ἄστυ γ', οὐδὲ πύργος C. 1378. τοῦ κατ' ἄστυ βασιλέως C. 67. μὴ κατ' ἄστυ, δημόταις λέξω τάδ' ἐλθὼν C. 78. πατρῷον ἄστυ γῆς ἔχει C. 297. θελήσας ἄστυ καὶ δόμους μολεῖν τοὺς σοὺς C. 757. τὸ Θήβης ἄστυ C. 1319. οἵδε κινοῦνται λόχοι πρὸς ἄστυ Θήβης C. 1372. ὦ γῆς Θήβης ἄστυ πατρῷον A. 937. τὸ Θήβης ἄστυ ναίοντας T. 1157.

'Αστύνομος. ἀστυνόμους ὀργὰς A. 355.

'Ασφάδαστος. ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι Aj. 833.

'Ασφάλεια. ἀσφαλείᾳ τήνδ' ἀνόρθωσον πόλιν R. 51.

'Ασφαλής. φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς R. 617. ἀσφαλεῖ ξὺν ἐξόδῳ C. 1288. ἄγραπτα, κἀσφαλῆ θεῶν νόμιμα A. 454. ἀσφαλεῖς δρόμους ὠρθοῦθ' ὁ τλήμων E. 741. νοῦς ἀσφαλὴς Creusa I. 2. οὐ γὰρ γένοιτ' ἂν ἀσφαλὴς πόλις Phædr. III. 1. οὐ γὰρ οἱ πλατεῖς, οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι Aj. 1251.

'Ασφαλῶς. ἐν χρόνῳ γνώσει τάδ' ἀσφαλῶς R. 613. ἀπελθεῖν ἀσφαλῶς C. 1165. ἀσφαλῶς ὤρθωσαν πόλιν θεοὶ A. 162.

'Ασχάλλειν. ἥδοιο μὲν, πῶς δ' οὐκ ἂν, ἀσχάλλοις δ' ἴσως R. 937.

"Ασωτος. τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς Aj. 190.

'Αταλάντη. 'Αταλάντης γόνος C. 1322.

'Ατάλλειν. ψυχὴν νέαν ἀτάλλων Aj. 559.

'Ατᾶσθαι. νοσοῦντες ἀτώμεσθα νῦν Aj. 269. οὔτ' εὐτυχοῦσα μᾶλλον, οὔτ' ἀτωμένη A. 17. ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας ἀτωμένους ἴδοις ἂν ἢ σεσωσμένους A. 313. ὧδ' ἀτώμενος Aj. 384.

'Αταρβής. ἦν θακῶν ἀταρβὴς τῆς θέας T. 23.

'Ατάρβητος. ἐχθρῶν ὕβρις ἀτάρβητα ὁρμᾶται Aj. 197.

"Αταφος. ἄταφος ἔπιτνε C. 1731. ἄκλαυστον, ἄταφον A. 29.

"Ατεγκτος. ἀλλ' ὧδ' ἄτεγκτος κἀτελεύτητος φανεῖ R. 336.

"Ατεκνος. ἄτεκνος, τάλαιν', ἀνύμφευτος αἰὲν οἰχνῶ E. 166.

'Ατελεύτητος. ἀλλ' ὧδ' ἄτεγκτος κἀτελεύτητος φανεῖ R. 336.

'Ατελής. ἀτελὴς εὐχὴ P. 782. κομπεῖν ἀτελῆ P. 842.

'Ατενής. κισσὸς ὡς ἀτενὴς A. 826.

"Ατερ. ἄτης ἄτερ A. 4. μόνη μοι τῆσδ' ἄτερ βιώσιμον A. 566. πημόνης ἄτερ T. 48. λαμπρᾶς ἄτερ στεροπᾶς Aj. 257. τῶν ἀριστείων ἄτερ γυμνὸν Aj. 464. ἐκβαλεῖν ταφῆς ἄτερ Aj. 1388. παῖς ἄτερ ὡς φίλας τιθήνας P. 703. σοῦ μολεῖν ἄτερ P. 812. αἰσχύνης ἄτερ E. 615. ἄτερ ἐμᾶν χερῶν E. 866.

"Ατη. προτέρας ἄτας ὕπερ ὀρνυμένας πόλει R. 164. στεναγμὸς, ἄτη θά-

νατος R. 1284. ἄτην δὲ τοῖς πέμψασιν C. 93. ᾧ μοι δύσφρονος ἄτας C. 202. πόλις ἔμ' οὐδὲν ἴδριν γάμων ἐνέδησεν ἄτᾳ C. 525. τὴν ἄτην ὁρῶν στείχουσαν ἀστοῖς A. 185. ἄτας οὐδὲν ἐλλείπει A. 585. ἐκτὸς ἄτας A. 614. ὅτῳ φρένας θεὸς ἄγει πρὸς ἄταν A. 624. ἄτῃ πατάξαι θυμὸν A. 1097. οὐκ ἀλλοτρίαν ἄτην ἔχων A. 1260. δολίαν καὶ μεγάλαν ἄτην T. 853. τήνδ' ἄτην τίς χωρὶς Ζηνὸς κατακηλήσει; T. 1004. ἔθαλψεν ἄτης σπασμὸς T. 1084. τυφλῆς ὑπ' ἄτης ἐκπεπόρθημαι T. 1105. τήνδ' ἄτην ὑπέχοντα T. 1276. ἄτῃ ξυγκατέζευκται κακῇ A. 123. ἄταν οὐρανίαν φλέγων Aj. 196. πλῆρες ἄτης στέγος Aj. 307. πλέον τὸ πῆμα τῆς ἄτης τίθει Aj. 363. οἵαν σε μένει πυθέσθαι παιδὸς δύσφορον ἄταν Aj. 643. ἄγγειλον ἄτην τὴν ἐμὴν, μόρον τ' ἐμὸν Aj. 848. ᾧ μοι ἐμᾶς ἄτας Aj. 908. βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος Aj. 976. μόχθων ἄταν ἐπάγων Aj. 1189. ἀνίκ' ἐξανίῃ δακέθυμος ἄτα P. 705. οὐ σχήσω ταύτας ἄτας E. 224. μὴ τίκτειν σ' ἄταν ἄταις E. 235. οὐκ εἰδυῖ' ἄρα, ἵν' ἦμεν ἄτης E. 935. ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται E. 1002. ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ στέναζε E. 1298. δύο δ' ἄτα C. 531. τρέφων δύ' ἄτα A. 533. τίς ἄταις ἀγρίαις ξύνοικος ἀλλαγᾷ βίου; R. 1205. τόνδ' ἄται κλονέουσιν ἀεὶ ξυνοῦσαι C. 1244. ἰὼ ματρῷαι λέκτρων ἄται A. 864. τὰν ἀνθρώπου ζωὰν ποικιλομήτιδες ἄται μεταλλάσσουσι Tereus IX. 1. φεύγοντες ἄτας Phryg. I. 3.

Ἀτηρός. ἀτηρᾷ φρενὶ T. 264. πιστὸς, ἀτηρὸς λάθρα P. 1072.

Ἀτίζειν. πρᾶγος δ' ἀτίζειν οὐδὲν ἄνθρωπον χρεὼν C. 1153.

Ἀτιμάζειν. ἔπη κλύων ἃ νῦν σὺ τήνδ' ἀτιμάζεις πόλιν R. 340. ὥς σ' ἀτιμάζει πατὴρ A. 572. οὐ ποτ' Αἴανθ' οἶδ' ἀτιμάσουσ' ἔτι Aj. 98. μηκέτ' ἐκφοβοῦ μητρῷον ὥς σε λῆμ' ἀτιμάσει ποτὲ E. 1427. ὄντα δὴ τοιόνδ' ἐμοὶ οὔκουν ἀτιμάσαιμ' ἂν Aj. 1339. μή μ' ἀτιμάσῃς C. 49. μηδέ μου κάρα τὸ δυσπρόσωπον εἰσιδὼν ἀτίμασῃς C. 286. μή μ' ἀτιμάσητέ γε C. 1409. μή μ' ἀτιμάσῃς τὸ μὴ οὐ θανεῖν τε σὺν σοὶ A. 544. ἀτιμάσας πέμψεις C. 1273. τὸν δ' ἀτιμάσας ἔχει A. 22. τὰ τῶν θεῶν ἔντιμ' ἀτιμάσας ἔχε A. 77. ὥστ' οὐκ ἂν ἐνδίκως γ' ἀτιμάζοιτό σοι Aj. 1342. οὐκ ἀτιμασθήσομαι R. 1081.

Ἀτιμᾷν. μὴ νῦν ἀτίμα θεοὺς θεοῖς σεσωσμένος Aj. 1129.

Ἀτιμία. ποῖ μ' ἀτιμίας ἄγεις; E. 1035. ἀτιμίας μὲν οὔ, προμηθείας δέ σου E. 1036.

Ἄτιμος. ἄτιμον ἐν αἰτίᾳ βαλεῖν R. 657. γῆς ἄτιμον τῆσδ' ἀπωσθῆναι βίᾳ R. 670. καί μ' ὁ Φοῖβος ὧν μὲν ἱκόμην ἄτιμον ἐξέπεμψεν R. 789. οὐκ ἄτιμος ἔκ γ' ἐμοῦ φανεῖ C. 51. μή μ' ἄτιμον, τοῦ θεοῦ γε προστάτην οὕτως ἀφῇ γε C. 1278. οὔτ' αἰσχρὸν οὔτ' ἄτιμόν ἐστιν A. 5. ἐγὼ μὲν οὐκ ἄτιμα ποιοῦμαι A. 78. τανῦν δ' ἄτιμος ὧδε πρόκειμαι A. 427. ἄτιμος Ἀργείοισιν ὧδ' ἀπόλλυμαι A. 440. μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς E. 71. θανὼν ἄτιμος E. 444. οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος; ἄτιμος οὐδενὸς σὺ E. 1215.

Ἀτίμως. ἀτίμως πατρίδος ἐξωθούμενον C. 428. ψυχὴν ἀτίμως ἐν τάφῳ κατῳκίσας A. 1069. σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον E. 1181. ἀτίμως διατετιλμένην φόβην Tyro XV. 7.

Ἀτλητεῖν. πάρειμ' ἀτλητῶν R. 515.

Ἄτλητος. γένος ἄτλητον ἀνθρώποισι δηλώσοιμ' ὁρᾶν R. 792. ἀγγελίαν ἄτλατον Aj. 223.

Ἀτμίζων. βωμὸς ἀτμίζων πυρὶ Laoc. I. 1.

Ἄτομος. τὸν Οἴτης ἄτομον ὃς λειμῶν' ἔχεις T. 200.

Ἄτρακτος. τὸν γὰρ βαλόντ' ἄτρακτον οἶδα καὶ θεὸν Χείρωνα πημήναντα T. 716. ὅ μοι βάλοι νευροσπαδὴς ἄτρακτος P. 290.

Ἀτρείδης. δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν Aj. 57. ἦ καὶ πρὸς Ἀτρείδαισιν ᾔχμασας χέρα; Aj. 97. τοίας ἐρέσσουσιν ἀπειλὰς δικρατεῖς Ἀτρεῖδαι καθ' ἡμῶν Aj. 252. λόγους ἀνέσπα, τοὺς μὲν Ἀτρειδῶν κάτα Aj. 302. λιπὼν μόνους Ἀτρείδας Aj. 461. ὧδ' Ἀτρείδας εὐφράναιμί που Aj. 469. ἔργ' ἄφιλα παρ' ἀφίλοις ἔπεσεν Ἀτρείδαις Aj. 621. μαθησόμεσθά τ' Ἀτρείδας σέβειν Aj. 667. Αἴας μετεγνώσθη θυμὸν Ἀτρείδαις Aj. 718. οἷος, Ἀτρειδῶν δίχα Aj. 750. πρὸς τῶν Ἀτρειδῶν

ὡς διόλλυμαι τάλας Aj. 838. ἐχθόδοπ' Ἀτρείδαις Aj. 931. Ἀτρειδᾶν τῷδ' ἄχει Aj. 948. βασιλῆς Ἀτρεῖδαι Aj. 960. βοὴν Ἀτρείδων Aj. 1319. μὴ χαῖρ', Ἀτρείδη, κέρδεσιν τοῖς μὴ καλοῖς Aj. 1349. τοιαῦτ' Ἀτρεῖδαι δεδράκασί με P. 314. συντυχὼν κακῶν ἀνδρῶν Ἀτρειδῶν P. 321. ἔχεις ἔγκλημ' Ἀτρείδαις P. 323. ὁ δ' Ἀτρείδας στυγῶν ἐμοί θ' ὁμοίως καὶ θεοῖς εἴη φίλος P. 389. ἐς τόνδ' Ἀτρειδῶν ὕβρις πᾶσ' ἐχώρει P. 396. ταῦτ' ἐξ Ἀτρειδῶν ἔργα P. 406. τοὺς Ἀτρείδας εἰσορῶν φυλάξομαι P. 455. ἔχθεις Ἀτρείδας P. 511. Ἀτρειδῶν χάριν P. 566. ἐγώ εἰμ' Ἀτρείδαις δυσμενὴς P. 585. ὄλοισθ', Ἀτρεῖδαι μὲν μάλιστα P. 1285. ὑπέρ τ' Ἀτρειδῶν τοῦ τε σύμπαντος στρατοῦ P. 1295. λέγεις Ἀτρείδαις ὄφελος P. 1384. Ἀτρείδας ἐκβαλόντας οἶδά με P. 1389. κατά μοι βόασον οἰκτρὰν ὄπα τοῖς ἔνερθ' Ἀτρείδαις E. 1068.

Ἄτρεστος. ἄτρεστον εὕδοντα R. 586. ἐν μάχαις ἄτρεστον Aj. 365.

Ἀτρεύς. Ἀτρέα τ' ὅς σ' ἔσπειρε Aj. 1293. τῶν Ἀτρέως δισσῶν στρατηγῶν P. 1023. τοῖσιν Ἀτρέως ἐμὲ ξυνόντα παῖσιν P. 1335. Ἀτρέως ἔχθιστον υἱον P. 1376. ὦ σπέρμ' Ἀτρέως E. 1508.

Ἀτρύγετος. ἀτρυγέτου γλαυκᾶς λίμνας Oenom. IV. 2.

Ἄτρυτος. ἀρτίως πεπαυμένην κακῶν ἀτρύτων Aj. 788.

Ἄτρωτος. ἄτρωτον οὐ μεθῆκ' ἂν ἐξ ἐμῆς χερὸς C. 906.

Ἀτταταί P. 743.

Ἀτύζεσθαι. Ἴτυν ὀλοφύρεται ὄρνις ἀτυζομένα E. 149.

Αὑαίνειν. αὑανοῦμαι τῷδ' ἐν αὐλίῳ μόνος P. 954. ἄφιλος αὑανῶ βίον E. 819.

Αὐγάζειν. ναὸς ἄξενον αὐγάζων ὅρμον P. 217. αὐγασθεὶς ὑπὸ κουραῖς Tyro XV. 6.

Αὐγή. ὀμμάτων αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν Aj. 70. βροντᾶς αὐγαῖς P. 1199.

Αὐδᾶν. δέος ἴσχετε μηδὲν, ὅσ' αὐδῶ C. 223. αὐδῶ σιωπᾶν C. 864. αὐδᾷ μολεῖν οἱ γῆς ἄνακτα Θησέα C. 1630. ἐφ' οἷς δ' αὐδᾷς ὀκνῶ P. 908. εἴ γε δρᾷς ταὖθ' ὥσπερ αὐδᾷς P. 1408. ἐς πάντας αὔδα R. 94. μή, δέσποτ' Αἴας, λίσσομαί σ', αὔδα τάδε Aj. 368. οὐ γὰρ αὐδᾶν ἔσθ', ἃ μηδὲ δρᾶν καλὸν R. 1409. οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ' ἔπη C. 624. τίν' αὐδᾶν ξυμμάχων χρή; A. 923. εἴ μοι θέμις τάδ' αὐδᾶν E. 128. αὐδῶν τοιαῦτα R. 1271. αὐδῶν ἀνόσι', οὐδὲ ῥητά μοι R. 1289. ηὔδας τι τοῖσδ' ἀστοῖσιν ἐκλυτήριον R. 392. πῶς οὖν τόθ' οὗτος ὁ σοφὸς οὐκ ηὔδα τάδε; R. 568. ηὔδας, ἐγὼ δὲ τῷ φόβῳ παρηγόμην R. 974. πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμὶν C. 25. εἰ δ' ἄνδρ' ἕν' οἰόζωνον αὐδήσει R. 846. αὔδασόν, τίς ἔφυς βροτῶν C. 204. ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε Δωδῶνι δισσῶν ἐκ Πελειάδων ἔφη T. 172. αὐδῶμαι δε παῖς Ἀχιλλέως P. 240. οἶσθα γὰρ ὅν γ' αὐδῶμαι P. 852. χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσθαι νεκρὸν P. 430. ποικίλως αὐδώμενος P. 130. ηὐδᾶτο μὲν τάδε R. 527. ηὐδᾶτο γὰρ ταῦτα R. 731. ὡς ηὐδᾶτ' ἐκεῖ R. 940. τοῦ κατ' ἄστρα Ζηνὸς αὐδηθεὶς γόνος T. 1108.

Αὐδή. τήν γε σὴν αὐδὴν σαφῶς γιγνώσκω R. 1326. ἔργων ἀκόντων αἴοντες αὐδὰν C. 240. αὐδῇ δ' αὐτίκ' ἔξεστιν μαθεῖν C. 323. αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν Aj. 975. οὐδ' ἐμὲ λάθει βαρεῖα τηλόθεν αὐδὰ P. 208. αὐδὴν τὴν Ἡρακλέους P. 1411. οἰκτρὰ μὲν νόστοις αὐδὰ E. 193. ἔκλυον ἂν ἐγὼ οὐκ ἂν ἤλπισ' αὐδὰν E. 1282.

Ἀΰειν. ἐκ δ' ἤϋσ' ἐγὼ T. 565. μηδὲν μέγ' ἀΰσῃς E. 830. δεινὸν δ' ἀΰσας R. 1260. ἀΰσας παῖδας C. 1598.

Αὐθαδία. εἴ τοι νομίζεις κτῆμα τὴν αὐθαδίαν R. 549. αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει A. 1028.

Αὐθαίμων. ὦ Διὸς αὐθαίμων, ὦ γλυκὺς Ἀΐδας T. 1041.

Αὐθαίρετος. τῶν δὲ πημόνων μάλιστα λυποῦσ' αἳ φανῶσ' αὐθαίρετοι R. 1231. τούτων δ' αὐθαίρετον οὐδὲν C. 523.

Αὖθις. λέγ' αὖθις R. 359. αὖθις φράσον R. 361. οἴμοι μάλ' αὖθις R. 1317. εἶτα δεῦρ' ἰὼν ὁποῖ' ἔπρασσον αὖθις R. 1403. αὖθις πάλιν λέγουσι C. 364. τί δ' αὖθις, ὦ παῖ, δεῖ σε θυμοῦσθαι; C. 1420. ὡς καὶ φιλήσων αὖθις Aj. 680. αὖθις αὖ λυπούμεθα Aj. 1286. αὖθις ἐκπέμψω πάλιν P. 125. φρά-

σον αὖθις πάλιν μοι πρᾶγμα P. 342. ᾧ μοι μάλ' αὖθις E. 1416.

Αὐθόμαιμος. οἱ δ' αὐθόμαιμοι ποῖ νεανίαι πονεῖν; C. 335.

Αὔλειος. ἐκτὸς αὐλείων πυλῶν A. 18.

Αὐλή. ἐν τ' ἀγρονόμοις αὐλαῖς A. 786. ἐν χαλκοδέτοις αὐλαῖς A. 947. αἵ τ' εἴσω στέγης, αἵ τ' ἐκτὸς αὐλῆς T. 203. αὐλὰς ποίας ἔνεδρος ναίει P. 152. πατρῴαν ἄγει πρὸς αὐλὰν P. 724.

Αὐλητής. πρίν τιν' αὐλητῶν ὁρᾶν Peleus III. 1.

Αὔλιον. δι' ἀμφιτρῆτος αὐλίου πνοὴ P. 19. αὑανοῦμαι τῷδ' ἐν αὐλίῳ P. 954. ὦ πληρέστατον αὔλιον λύπας P. 1087. φυγᾷ μ' οὐκ ἔτ' ἀπ' αὐλίων πελᾶτε P. 1149.

Αὐλίσκος. φυσᾷ γὰρ οὐ σμικροῖς αὐλίσκοις I. T. LXXX. 1.

Αὐλὸς. οὐδ' ἀπώσομαι τὸν αὐλὸν T. 217. αὐλὸς οὐκ ἀναρσίαν ἰάχων καναχὰν ἐπάνεισιν T. 643. γλυκὺν αὐλῶν ὄτοβον Aj. 1203.

Αὐλὼν. ποντίους αὐλῶνας T. 100. κρημνούς τε, καὶ σήραγγας, ἠδ' ἐπακτίας αὐλῶνας Scyth. III.

Αὐξάνειν. τοιοίσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν A. 191. τὸ δ' αὔξει βιότου πολύπονον T. 117. οἰνάνθης δέμας ἐπ' ἦμαρ αὔξει μέσον Thyest. VI. 5. καὶ πατριώταν Οἰδίπου καὶ τροφὸν καὶ μητέρα αὔξειν R. 1092. ἐπ' ἦμαρ αὖθις αὔξων C. 1455. ἔκγονα κλυτᾶς χθονὸς αὔξεται R. 173.

Ἄϋπνος. ἄϋπνοι κρῆναι C. 685. σέ τοι κικλήσκω τὸν ἄϋπνον C. 1578. ἁλιαδᾶν ἀΰπνους ἄγρας Aj. 880. πάντων ἐν νόσῳ ὕπνος ἄϋπνος P. 848.

Αὔρα. κόμη δι' αὔρας ἀκτένιστος ᾄσσεται C. 1261. εἴθ' ἀνεμόεσσά τις γένοιτ' ἔπουρος ἑστιῶτις αὔρα T. 956. τίς ὧδ' ἐν αὔραις τρέφεται; P. 1160. αἰγείρου κάρα κινεῖτ' ἐν αὔραις Aeg. VI. 3.

Αὔριον. τὰν αὔριον πανσέληνον R. 1090. τῆς ἐς αὔριον οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας C. 567. οὐ γάρ ἐσθ' ἡ γ' αὔριον T. 947. τὸ δ' ἐς αὔριον ἀεὶ τυφλὸν ἕρπει I. T. XXVII. 9.

Αὐτάγγελος. λόγοις αὐτάγγελος C. 333. πῶς οὖν Ὀδυσσεὺς πρὸς τάδ' οὐκ αὐτάγγελος; P. 568.

Αὐτάδελφος. ὦ κοῖνον αὐτάδελφον Ἰσμήνης κάρα A. 1. τὸν αὐτάδελφον ἐν τάφῳ τιθεῖσα A. 503. τὸν αὐτῆς αὐτάδελφον A. 696.

Αὐταρκής. αὐταρκῆ τάχ' ἐμμίξειν βοὰν C. 1057.

Ἀΰτή. πολιαί τ' ἐπὶ ματέρες ἀΰτὰν παραβώμιον ἐπιστοναχοῦσι R. 184.

Αὐτίκα. τοιγάρ σ' ὁ δαίμων εἰσορᾷ μὲν οὔ τί πω ὡς αὐτίκα C. 1371. ὡς κατ' ὄμματ' αὐτίκα παρόντι θνήσκῃ πλησία τῷ νυμφίῳ A. 760.

Αὐτογέννητος. κοιμήματ' αὐτογέννητα A. 864.

Αὐτόγνωτος. σὲ δ' αὐτόγνωτος ὤλεσ' ὀργὰ A. 875.

Αὐτοδαής. ὀρχήματ' αὐτοδαῆ Aj. 699.

Αὐτοέντης. αὐτοέντας χειρὶ τιμωρεῖν R. 107. τὸν αὐτοέντην ἐν κοίτῃ πατρὸς E. 272.

Αὐτόκλητος. οὐκ ἐμῶν ὑπ' ἀγγέλων, ἀλλ' αὐτόκλητος T. 392.

Αὐτοκτενεῖν. αὐτοκτενοῦντε τὼ ταλαιπώρω A. 56.

Αὐτόλιθος. αὐτολίθοισι ληκύθοις Androm. VI.

Αὐτόνομος. αὐτόνομος ζῶσα μόνη δὴ θνατῶν Ἀΐδαν καταβήσει A. 821.

Αὐτόξυλος. αὐτόξυλόν γ' ἔκπωμα P. 35.

Αὐτόπαις. αὐτόπαις Διὸς T. 828.

Αὐτόποιος. φύτευμ' ἀχείρωτον, αὐτόποιον C. 698.

Αὐτόπρεμνος. τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται A. 714.

Αὐτὸς. τοὐπίκλημ' ὑπεξελὼν αὐτὸς καθ' αὐτοῦ R. 228. μηδ' ἐγὼ ταυτὸν πάθω R. 325. καὶ νῦν ἔθ' αὐτός εἰμι R. 557. ἐκείνῃ ταυτὰ R. 579. γῆς ἄνακτας ἀρκεῖ ταυτά μοι διειδέναι C. 295. ἀπὸ μαντέων ταυτῇ κλύων C. 1300. αὐτῆς εὐγενεστάτη ὄψις σελήνης I. T. LVI. 7.

Αὐτόστολος. αὐτόστολον πέμψαντα P. 406.

Αὐτοσφαγής. ὥσπερ εἰσορῶσ' ἐμὲ αὐτοσφαγῆ πίπτοντα, τῶς αὐτοσφαγεῖς πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο Aj. 842.

Αὐτουργός. ὄψεις ἀράξας αὐτὸς αὐτουργῷ χερὶ A. 52.

Αὐτόφωρος. αὐτοφώρων ἀμπλακημάτων A. 51.

Αὐτόχειρ. ἄλλον οἶδεν ἐξ ἄλλης χθονὸς τὸν αὐτόχειρα R. 231. τὸν αὐτόχειρα τοῦ φόνου R. 266. αὐτόχειρι σὺν μιάσματι A. 172. τὸν αὐτόχειρα τοῦδε τοῦ τάφου A. 306. θανόντας

αὐτόχειρ ὑμᾶς ἐγὼ ἔλουσα A. 900. Αἵμων ὄλωλεν, αὐτόχειρ δ' αἱμάσσεται A. 1174. παίσασ' ὑφ' ἧπαρ αὐτόχειρ αὐτὴν A. 1315. ἐξάραι σῶμ' αὐτόχειρα T. 1196. Ἀτρείδας αὐτόχειρ κτείνειν Aj. 57. τὸν αὐτόχειρα πατρῴου φόνου E. 955. αὐτόχειρί μοι, μόνῃ τε δραστέον E. 1019. μητρὸς αὐτόχειρ φανεὶς Alcm. II. 2.

Αὔτως. κρυφῇ δὲ κεῦθε, σὺν δ' αὔτως ἐγὼ A. 85. αὔτως δὲ ναὸς ὅστις ἐγκρατῆ πόδα τείνας ὑπείκει μηδὲν A. 715. ἐπίδοιμι πεσοῦσαν αὔτως, ὧδ' αὔτως, ὥς μ' ὤλεσεν T. 1040. ἐξημημένος αὔτως ὅσωσπερ τόνδ' ἐγὼ τέμνω πλόκον Aj. 1179.

Αὐχενίζειν. τοὺς μὲν ηὐχένιζε Aj. 298.

Αὔχημα. μεγάλου δαίμονος αὔχημα μέγιστον C. 710. σὺ γάρ νιν εἰς τόδ' εἷσας αὔχημα C. 713.

Αὐχήν. κρεμαστὴν αὐχένος A. 1221. θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο Tyro XV. 4. Ἡρακλεῖ μέσον εἰς αὐχέν' εἰσαλοίμην I. T. XXXVII. 2.

Ἀφαιρεῖν. τὸν βίον μή μου 'φέλῃς P. 933. θανόντες ἤδη τἄμ' ἀφαιρείσθων ὅπλα Aj. 100. εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με P. 376. ἐχθρόν μ' ἀφεῖλου μὴ κτανεῖν P. 1303.

Ἀφανδάνειν. σοὶ τἄμ' ἀφανδάνοντ' ἔφυ A. 501.

Ἀφανής. μεθέντας ἡμᾶς τἀφανῆ R. 131. ἀφανεῖ λόγῳ R. 657. τὰν ἀφανῆ θεὸν C. 1556. ἐν ἀφανεῖ τινὶ μόρῳ C. 1682. μισῶ γὰρ, ὅστις τἀφανῆ περισκοπεῖ I. T. XC.

Ἀφανίζειν. πῶς με χρὴ τὸ σὸν ἀφανίσαι τοσόνδ' ἄχος C. 1712. ὁ μὲν γὰρ ἠφάνιστο A. 255. τοῦτ' ἠφάνισται T. 678.

Ἄφαντος. ἄφαντος ἔῤῥει R. 560. ἐκ βροτῶν βαίην ἄφαντος R. 832. ἔφην' ἄφαντον φῶς P. 297.

Ἄφαρ. ἀπὸ ματρὸς ἄφαρ βέβακεν T. 529. προσέμιξεν ἄφαρ τοὔπος τὸ θεοπρόπον ἡμῖν T. 823.

Ἀφαρπάζειν. ὧν ἀφαρπάζειν φιλεῖ ὀφθαλμὸς ἄνθος T. 548.

Ἄφατος. σκότου νέφος ἐμὸν ἀπότροπον, ἐπιπλόμενον ἄφατον R. 1314. κτύπος ἄφατος ὅδε διόβολος C. 1464.

Ἀφαυρός. τί δῆτ' ἀφαυρῷ φωτὶ προστάσσεις ποιεῖν; C. 1018. ψαύσας ἀφαυραῖς χερσὶν ὧν παίδων C. 1639.

Ἀφεγγής. εἴ τι γᾷ ματέρι τυγχάνεις ἀφεγγὲς φέρων C. 1481. ὦ φῶς ἀφεγγὲς C. 1549.

Ἀφειδεῖν. εἴ τις τοῦδ' ἀφειδήσοι πόνου A. 414. ψυχῆς ἀφειδήσαντε E. 980.

Ἀφέλκειν. ἀφέλκομαι δύστηνος C. 844.

Ἀφέοπειν. τί σῖγ' ἀφέρπεις; T. 815. ἀφερπέ νυν Aj. 1161. ἔπειτ' ἀφέρπειν ἄστροφος C. 491.

Ἄφεσις. δρόμου δ' ἰσώσας τῇ 'φέσει τὰ τέρματα E. 686.

Ἄφθεγκτος. ἐν ἀφθέγκτῳ μὴ προσπέσῃς νάπει C. 157.

Ἄφθιτος. γᾶν ἄφθιτον, ἀκαμάταν A. 339. ἄφθιτος βία I. T. XXIII. 3.

Ἄφθογγος. ἧστο πλεῖστον ἄφθογγος χρόνον Aj. 311. ἀφθόγγους γάμους Troil. I. 1.

Ἀφιέναι. μηδ' ἀφιέναι μόνον Aj. 796. ἄφες μ' ἐς οἴκους R. 320. ἄφετε μόνην ἔρημον R. 887. ἀπόδος, ἄφες μοι, παῖ, τὰ τόξα P. 981. ἄφετε γὰρ αὐτον, μηδὲ προσψαύετε P. 1054. τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες E. 1288. ἤν τι νὺξ ἀφῇ R. 198. μηδὲ τοῦτ' ἀφῇς R. 860. μήτ' ἀφῆτ' ἔπος κακὸν C. 731. μή μ' ἄτιμον, τοῦ θεοῦ γε προστάτην οὕτως ἀφῇ γε C. 1279. ἵνα τὸν θυμὸν οὗτος ἐς νεωτέρους ἀφῇ A. 1088. εἰ γὰρ θάνῃς σὺ, καὶ τελευτήσας ἀφῇς Aj. 496. μή μ' ἀφῇς ἔρημον οὕτω P. 486. ἀφεὶς τάδε R. 599. σὺ νῦν ἀφεὶς σεαυτὸν, ὧν λέγεις πέρι ἐμοῦ 'πακουσον R. 707. ἀφεὶς τὰ τῆσδε τῆς γῆς κύρια C. 914. ὅταν τὰ θεῖ' ἀφείς τις εἰς τὸ μαίνεσθαι τραπῇ C. 1537. χειρίαν μ' ἀφείς τινι Aj. 495. τί δρᾷς ὦ ξέν', οὐκ ἀφήσεις; C. 833. οὔτοι σ' ἀφήσω C. 857. τί μὰν ἀφήσει τέλος C. 1467. οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν E. 1020. πῶς δῆτ' ἀφῆκας τῷδε τῷ γέροντί σν; R. 1177. τοιαῦτά σου ἀφῆκα θυμῷ καρδίας τοξεύματα A. 1088. οὐκ ἀφῆκας εἰς Ἅιδου μολεῖν P. 1349. στεῖχέ νυν, τέκνων δ' ἀφοῦ R. 1521. καὶ νῦν ἀφεῖται πάντα A. 1165.

Ἀφικνεῖσθαι. χὤταν εἰς τέλος τοῦ ζῆν ἀφικνῇ C. 1531. κἀπὶ πάντ' ἀφίξομαι R. 235. δεῦρ' ἀφίξεται ταχὺς C. 307. φράζ' ὅπου χρῄζων ἀφῖξαι R. 933. τίνας χώρους ἀφίγμεθα; C. 2. ἐπεὶ δ' ἀφῖκτο τὰν καταῤῥάκτην ὁδὸν C. 1590. ἰδεῖν κηλῖδ' ἐμαυτῷ ξυμφορᾶς

ἀφιγμένην R. 833. ἱκέτης δαιμόνων ἀφιγμένος C. 634. τί δῆτα νῦν ἀφιγμένος κυρῶ C. 1308. παρὰ τίνος δ' ἀφιγμένος; R. 935. μάλιστα τοῦτ' ἀφικόμην R. 1005. ὅσον λῆμ' ἔχων ἀφίκου, ξένε C. 877. πρὸς τέλος γόων ἀφίκοντο C. 1622. ὅσοι Τροίαν ἀφικομέσθα Aj. 1341. ὦ φθέγμ' ἀφίκου E. 1224. ἀφίκοιτ', ἀφίκοιτο T. 657. θανάτου τοῦτ' ἐγγυτάτω τοὔπος ἀφῖκται A. 939.

Ἀφίλητος. γέρων ἀφίλητος ἐμοὶ C. 1702.

Ἄφιλος. ἄθεος, ἄφιλος, ὀλοίμαν R. 662. ὅ τι καὶ πόλις τέτροφεν ἄφιλον C. 186. ἀκρατὲς ἀπροσόμιλον γῆρας ἄφιλον C. 1236. ἄκλαυτος, ἄφιλος, ἀνυμέναιος A. 876. ἔργα χεροῖν μεγίστας ἀρετᾶς ἄφιλα παρ' ἀφίλοις ἔπεσε Aj. 620. ἔρημον ὧδε, κἄφιλον κακούμενον P. 228. ἄφιλον ἔρημον ἄπολιν P. 1018. ἄφιλος αἰανῶ βίον E. 819.

Ἀφιστάναι. σιγᾶν κελεύω μηδ' ἀφιστάναι φρενῶν P. 865. ἁ 'νθρωπος, ὦ δέσποιν', ἀποστήτω T. 434. τῆσδ' ἀποστῆναι στέγης E. 912. μαστῶν ἀποστὰς καὶ τροφῆς ἐμῆς E. 776.

Ἀφνεός. τὸ λοιπὸν ἀφνεωτέραις χερσὶ στέφωμεν αὐτὸν E. 457.

Ἀφόβητος. Δίκας ἀφόβητος R. 885.

Ἄφοβος. τὸν Ἄργους ἄφοβον στρατὸν C. 1325. ἐν ἀφόβοις θηρσὶ δεινὸν χέρας Aj. 366.

Ἀφορμᾶν. οὐ γὰρ ἅλιον ἀφορμᾷ ποτὲ C. 1469. οἷον ἄρ' ὁδοῦ τέλος Ἄργους ἀφορμήθημεν C. 1401.

Ἄφορμος. ἄφορμος ἐμᾶς χθονὸς ἔκθορε C. 234.

Ἄφρακτος. φίλων ἄφρακτος Aj. 910.

Ἄφραστος. δέρκομαι φάτιν ἄφραστον T. 696. ἀφράστῳ τῇδε χειρωθεὶς πέδῃ T. 1059.

Ἀφράστως. ἀφράστως ἀέλπτως τ' εἰσιδεῖν E. 1262.

Ἀφρίζειν. ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις ἤφριζον E. 719.

Ἀφροδίσιος. ξένη τε κἀφροδισία λάταξ ἅπασι νῦν ἐπεισκύπτει δόμοις Inach. III.

Ἀφροδίτη. ἁ χρυσάνιος Ἀφροδίτα C. 693. ἄμαχος γὰρ ἐμπαίζει θεὸς Ἀφροδίτα A. 800.

Ἀφροντίστως. τούσδε πέμπων οὐκ ἀφροντίστως T. 366. δηλοῖ δὲ τοὔργον, ὡς ἀφροντίστως ἔχει Aj. 355.

Ἀφρόνως. ὑψικόμπως κἀφρόνως ἠμείψατο Aj. 766.

Ἀφρός. ἀναζέουσι θρομβώδεις ἀφροὶ T. 704.

Ἀφροσύνη. εὖτ' ἂν τὸ νέον παρῇ κούφας ἀφροσύνας φέρον C. 1230. καί σ' ἐν ἀφροσύνῃ καθελόντες A. 383.

Ἄφρων. οὐ γὰρ ὧδ' ἄφρων ἔφυ E. 941.

Ἀφυής. ἀφυῆ τ' ὄντα, κοὐ θέλοντα P. 1014.

Ἄφυκτος. χεροῖν μὲν ὡς ἄφυκτ' ἔχων βέλη T. 265. ἰοὺς ἀφύκτους P. 105. ἄφυκτοι κύνες E. 1388. ἄφυκτα μήδεα Phædr. I. 1.

Ἀφώνητος. τὰ πολλὰ ῥήματα παρέσχε φώνην τοῖς ἀφωνήτοις τινὰ C. 1283.

Ἄφωνος. μὴ γὰρ αἵδε δαίμονες θεῖέν μ' ἄφωνον τῆσδε τῆς ἀρᾶς ἔτι C. 865. σιγῇ πτήξειαν ἄφωνοι Aj. 171.

Ἀφώνως. παραμειβόμεσθ' ἀδέρκτως, ἀφώνως C. 131.

Ἀχαιός. ἀριστὸς πολυπόνων Ἀχαιῶν Aj. 638. Ἀχαιοῖς σύμμαχον Aj. 1093. ναυάρχους Ἀχαιῶν Aj. 1233. οὐκ ἄρ' Ἀχαιοῖς ἄνδρες εἰσὶ πλὴν ὅδε; Aj. 1237. εἷς ἦν Ἀχαιός E. 701.

Ἄχαλκος. Ἄρης ἄχαλκος ἀσπίδων R. 191.

Ἀχαρνάν. εἰς Ἀμφιλόχους κἀχαρνᾶνας Inach. XI. 3.

Ἀχείρωτος. φύτευμ' ἀχείρωτον C. 698.

Ἀχελῷος. ποταμὸς, Ἀχελῷον λέγω T. 9. Ἀχελῷος ἀπ' Οἰνιαδᾶν T. 509. μίσγει δ' ὕδασιν τοῦ Ἀχελώου Inach. XI. 4.

Ἄχερδος. μέσος στὰς τοῦ τε Θορικίου πέτρου κοίλης τ' ἀχέρδου C. 1596.

Ἀχέρων. τὰν Ἀχέροντος ἀκτὰν A. 812. Ἀχέροντι νυμφεύσω A. 816. παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων E. 188. Ἀχέροντος χοὰς Polyx. II. 3.

Ἄχθεσθαι. οὐκ ἄχθομαί σ' ἰδὼν P. 671. οὕτω τοῖς παροῦσιν ἄχθομαι P. 970.

Ἄχθος. τί δ' αὖ τόδ' ἄχθος βασιλέων ἥκεις φέρων; A. 1172. ἀδαὴς δ' ἔχειν μυρίον ἄχθος P. 1168. λύπης ἀντίρροπον ἄχθος E. 120. ὦ δείπνων ἀρρήτων ἔκπαγλ' ἄχθη E. 204. πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι E. 1116. περισσὸν ἄχθος ἔνδον E. 1241.

'Αχιλλεύς. *πλὴν 'Αχιλλέως ἄριστον* Aj. 1341. *'Αχιλλέως παῖ* P. 4. *αὐδῶμαι δὲ παῖς 'Αχιλλέως* P. 241. *ἐπεὶ γὰρ ἔσχε μοῖρ' 'Αχιλλέα θανεῖν* P. 331. *ὦ σπερμ' 'Αχιλλέως* P. 364. *ἐξ 'Αχιλλέως βλαστὼν* P. 1312.

'Αχιλλεῖος. *τῶν 'Αχιλλείων ὅπλων* Aj. 41.

'Αχιλλήϊος. *'Αχιλληΐου δόρατος* Achill. Amat. III. 3.

"Αχνη. *θάλλει δ' οὐρανίας ὑπ' ἄχνας ὁ καλλίβοτρυς νάρκισσος* C. 681. *τέγγει δακρύων ἄχναν* T. 850.

"Αχνυσθαι. *ἆρ' ἀχνύμενος τῆς μελλογάμου τάλιδος ἥκει μόρον;* A. 628.

'Αχόρευτος. *ἀχόρευτα φέρων ὀνείδη* E. 1069.

"Αχορος. Μοῖρ' *ἄλυρος, ἄχορος* C. 1223.

"Αχος. *οὐκ ἦν ἄχος φίλοισιν* R. 1355. *πῶς μὲ χρὴ τὸ σὸν τάλαιναν ἀφανίσαι τόδ' ἄχος* C. 1712. *λήγετε τοῦδ' ἄχους* C. 1722. *σκηπτὸν, οὐράνιον ἄχος* A. 418. *ἄχη τέκνου κλύουσαν* A. 1247. *ὦ κακάγγελτά μοι προπέμψας ἄχη* A. 1287. *ἀκοῦ δ' ἄχος* T. 1037. *τοῖς σοῖς ἄχεσιν καθυβρίζων* Aj. 153. *ἐμοὶ δ' ἄχος ἔστακε* Aj. 200. *ἔλυσεν αἰνὸν ἄχος ἀπ' ὀμμάτων "Αρης* Aj. 706. *ἐθρόησας ἄναυδον ἔργον 'Ατρειδᾶν τῷδ' ἄχει* Aj. 948. *ἄγαν ὑπερβριθὲς ἄχος ἤνυσαν* Aj. 951. *γελᾷ δὲ τοῖς μαινομένοις ἄχεσιν πολὺν γέλωτα* Aj. 957. *οὔ τοι σοὶ μούνᾳ, τέκνον, ἄχος ἐφάνη βροτῶν* E. 154. *κρυπτᾷ δ' ἀχέων ἐν ἥβᾳ ὄλβιος* E. 159.

'Αχρεῖος. *ἀχρεῖον οἰκητῆρα* C. 627. *ἀχρεῖος ὢν ἐς βρῶσιν* Hel. V. 2. *νοῦς φροῦδος, ἔργ' ἀχρεῖα* Scyr. V. 2. *ἀπ' ἀχρείων λίαν κακὸς* Tyro XI. 3.

"Αψαυστος. *ἄψαυστος ἔγχους* R. 969.

'Αψεγής. *ἀψεγὲς τέρας* E. 496.

'Αψευδεῖν. *σοὶ δ' ἐγὼ φράζω κακὸν πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεὶ* T. 469.

"Αψορρος. *ἄψορρος οἴκων τῶνδ' ἀποστραφεὶς ἄπει* R. 431. *ἐκ δόμων ἄψορρος ἐς δέον πάρα* A. 386. *ὅπως ἄψορρον ἀντῴη πατρὶ* T. 904. *οὐκ ἄψορρον ἐκνεμεῖ πόδα;* Aj. 369. *εἶτ' ἄψορρον ἥξομεν πάλιν* E. 53. *ὦ παῖδες, οὐκ ἄψορρον;* E. 1430.

'Αψόφητος. *ἀψόφητος ὀξέων κωκυμάτων;* Aj. 321.

"Αψοφος. *ἄψοφον βάσιν* T. 969.

B.

Βαδιστέος. *σοὶ βαδιστέον πάρος* E. 1502.

Βαθμός. *βαθμοῖσι νυμφικοῖς ἐπεστάθη ὁ μοιχὸς* I. T. L. 5.

Βάθρον. *ὑμεῖς μὲν βάθρων ἵστασθε* R. 142. *ἐπὶ σεμνὸν ἑζόμην βάθρον τόδ' ἀσκέπαρνον* C. 101. *βάθρων ἐκ τῶνδέ μ' ἐξάραντες* C. 263. *χαλκοῖς βάθροισι γῆθεν ἐρριζώμενον* C. 1591. *γῆς ἀλάμπετον βάθρον* C. 1662. *ὑψηλὸν ἐς Δίκας βάθρον προσέπεσες* A. 854. *Σαλαμῖνος ἔχων βάθρον* Aj. 135. *ὦ πατρῷον ἑστίας βάθρον* Aj. 860. *γῆς τόδ' αἰπεινὸν βάθρον* P. 1000.

Βαθύρριζος. *ὕλην τῆς βαθυρρίζου δρυὸς* T. 1197.

Βαθύρρους. *βαθύρρουν ποταμὸν Εὔηνον* T. 559.

Βαθύς. *βαθεῖαν κυλίκων τέρψιν* Aj. 1200. *βαθὺν κρητῆρα* Ach. Conv. IV. 1.

Βαθυσκαφής. *βαθυσκαφεῖ κόνει* E. 435.

Βαίνειν. *ἔξω πόρσω βαίνετε χώρας* C. 226. *ὦ τέκνον, ὅρα ποῖ βάσεις* P. 834. *βέβηκ' ὑπ' ἀγρίας ᾄξασα λύπης ἡ γυνὴ* R. 1073. *τίς δ' ἔσθ' ὁ χῶρος δῆτ' ἐν ᾧ βεβήκαμεν;* C. 52. *ἦ βέβηκεν ἡμῖν ὁ ξένος;* Βέβηκεν C. 82. *πνεῦμα ταὐτὸν οὔποτ' οὔτ' ἐν ἄνδρασι φίλοις βέβηκεν* C. 613. *ὧν καὶ χρυσέα κλῇς ἐπὶ γλώσσᾳ βέβακε προσπόλων* C. 1052. *ἐν πόνῳ κακῶν ἐμοὶ ταὐτῷ βέβηκας* C. 1359. *βέβηκεν;* C. 1679. *νῷν δ' ὀλεθρία νὺξ ἐπ' ὄμμασιν βέβηκε* C. 1684. *τὸν νεκρόν τις ἀρτίως θάψας βέβηκε* A. 246. *ἀνὴρ, ἄναξ, βέβηκεν ἐξ ὀργῆς ταχὺς* A. 776. *ἀνὴρ, ἄναξ, βέβηκε δεινὰ*

θεσπίσας A. 1091. ἀλλ' ἄφαρ βέβακε T. 135. ἀπὸ ματρὸς ἄφαρ βέβακεν T. 529. βέβηκε τὴν πανυστάτην ὁδὸν T. 876. πάντα γὰρ ξυναρπάσας θύελλ' ὅπως βέβηκας E. 1151. καὶ δὴ βεβᾶσι T. 345. βεβᾶσι δωμάτων ὑπόστεγοι E. 1386. δέδοικ' ἐγὼ μή μοι βεβήκοι P. 494. ὅταν μὲν ἐν κακοῖς ἤδη βεβήκῃς E. 1057. εὖ ἴσθ' ἐκεῖνον θανάσιμον βεβηκότα R. 959. τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν τότε E. 979. τοῖς ἐν τέλει βεβῶσι πείσομαι A. 67. ἐνιαύσιος βεβὼς T. 165. χρόνον βεβὼς ἦν ἡμερῶν ἀνήριθμον T. 247. αὐτῶν βεβώτων P. 277. ναῦς ἃς ἔχων ἐναυστόλουν πάσας βεβώσας P. 280. βεβῶτος ἐκ δόμων Αἰγίσθου E. 311. ἐς τόδ' ἂν τόλμης ἔβη R. 125. καὶ δεῦρ' ἔβημεν R. 147. Πυθῶνος ἀγλαὰς ἔβας Θήβας R. 152. ἔβα πρίν ποθ' ἁμετέρων αἱμάτων γένυσι πλησθῆναι A. 120. πᾶ γὰρ οὐκ ἔβαν ἐγώ; Aj. 868. ἔβαν Δαναοῖς ἀρωγὸς P. 1217. προβᾶθ' ὧδε, βᾶτε, βᾶτ' ἔντοποι C. 841. ἰὼ παῖ βᾶθι, βᾶθι C. 1492. τῇδ', ὧδε, τῇδε βᾶτε C. 1547. φίλος ὅστις ἀνὴρ φησὶ παρεῖναι σούσθω, βάτω Aj. 1414. βᾶθι νῦν, ὦ τάλαν P. 1197. βᾶτε κατ' ἀντιθύρων E. 1430. βᾶτ' εἰς ὁδὸν δὴ πᾶς λεὼς I. T. LX. 3. εἰ γὰρ ἐν τύχῃ γε τῷ σωτῆρι βαίη R. 81. ἐκ βροτῶν βαίην ἄφαντος πρόσθεν, ἢ τοιαῦτ' ἰδεῖν R. 832. ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι Aj. 921. βῆναι κεῖθεν ὅθεν περ ἥκει A. 1227. τὸ κοῖλον Ἄργος βὰς φυγὰς C. 378. τὸν Ἀργόθεν φῶτα βάντα A. 107. κύματ' εὐρέϊ πόντῳ βάντ' ἐπιόντα τε T. 115. ποῦ βάντος, ἢ ποῦ στάντος, οὔπερ οὐκ ἐγώ; Aj. 1237.

Βαιός. πότερον ἐχώρει βαιός, ἢ πολλοὺς ἔχων ἄνδρας; R. 750. βαιοῦ κοὐχὶ μυρίου χρόνου C. 397. ἔχεις γὰρ οὐχὶ βαιὰ τἀνθυμήματα C. 1199. ἔπειτα βαιόν, οὐδὲ σὺν χρόνῳ C. 1653. χρόνον μὲν οὐχὶ βαιὸν T. 44. αὐτοῦ γε πρῶτον βαιὸν ἀμμείνας T. 335. τί βαιὸν ἐντρέπει τῆς ξυμμάχου Aj. 90. μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἂν ὀρθοῖτο Aj. 160. ὁ δ' εἶπε πρός με βαιὰ Aj. 292. βαιὸν δ' ἔνερθεν ἐξ ἀριστερᾶς P. 20. ῥάκη προθέντες βαιὰ P. 274. βαιᾷ τῇδ' ὑπὸ στέγῃ P. 286. βαιάν μοι βαιὰν, ὦ τέκνον, πέμπε λόγων φάμαν P. 843. ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνὴρ Inach. I. 2.

Βακχεῖος. ὁ Βακχεῖος θεὸς R. 1105. ὁ Θήβας δ' ἐλελίζων Βακχεῖος ἄρχοι A. 154. Βακχεῖος βότρυς Thyest. VI. 2.

Βακχεύειν. βακχεύων ἐπέπνει ῥιπαῖς ἐχθίστων ἀνέμων A. 136.

Βακχεύς. ὦ Βακχεῦ A. 1122.

Βακχή. Βακχᾶν ματρόπολιν Θήβαν A. 1122.

Βάκχιος. βακχίαν ἅμιλλαν T. 219. βακχίας ἀπ' ἀμπέλου T. 706. Βακχίας ἀπὸ Θήβας T. 511.

Βακχιοῦν. τὴν βεβακχιωμένην Νῦσαν I. T. XCIV. 1.

Βακχίς. Νύμφαι Βακχίδες A. 1129.

Βακχιώτης. ὁ βακχιώτας Διόνυσος C. 678.

Βάκχος. οἰνῶπα Βάκχον εὔϊον R. 211.

Βαλβίς. βαλβίδων ἀπ' ἄκρων ἤδη νίκην ὁρμῶντ' ἀλαλάξαι A. 132.

Βάλλειν. καί με φθόγγος οἰκείου κακοῦ βάλλει δι' ὤτων A. 1188. βάλλει μ' ἐτύμα φθογγὰ P. 205. δεμνίοισι στρωτὰ βάλλουσαν φάρη T. 918. ἄτιμον ἔβαλον P. 1028. ὥς νιν ματαίως αἰτίᾳ βάλοι κακῇ T. 942. ὅ μοι βάλοι νευροσπαδὴς ἄτρακτος P. 289. μὴ νῦν ἔτ' αὐτῶν μηδὲν ἐς θυμὸν βάλῃς R. 975. ὀσμὴν ἀπ' αὐτοῦ μὴ βάλῃ A. 412. γῆς ἔξω βαλεῖν ἐμὲ R. 622. φίλον μή ποτ' ἄτιμον βαλεῖν R. 657. μὴ τλῆς ἄθαπτον ὧδ' ἀναλγήτως βαλεῖν Aj. 1333. ἀνθ' ὧν ἔχεις μὲν τῶν ἄνω βαλὼν κάτω A. 1068. τὸν βαλόντ' ἀποφθίσαι χρῄζων T. 711. τὸν γὰρ βαλόντ' ἄτρακτον οἶδα καὶ θεὸν Χείρωνα πημήναντα T. 716. δυσφόρους ἐπ' ὄμμασι γνώμας βαλοῦσα Aj. 52. ἔπος τι τυγχάνει βαλὼν E. 569. νικητήρια τίθημι τῷ βαλόντι χάλκειον κάρα Salm. I. 3. αἰὲν ἡμᾶς αὖ κακοῖς βαλεῖτέ που Aj. 1244. τοῦτον εἰ βαλεῖτέ που, βαλεῖτε χἠμᾶς τρεῖς ὁμοῦ ξυγκειμένους Aj. 1309. λύπην πᾶσιν Ἀργείοις βαλεῖς P. 67.

Βάναυσος. οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην Aj. 1121.

Βάξις. φέροντι τήνδε βάξιν R. 519. βάξιν κατήδη τῶνδε T. 87. βάξιν ἀλγεινὴν λαβεῖν A. 494. ὀξεῖα γάρ σου

βάξις ὡς οἴχει θανὼν A. 998. *κλύοις ἄν, Φοῖβε, κεκρυμμένην μου βάξιν* E. 638. *σπείρειν ματαίαν βάξιν ἐς πόλιν* E. 642. *βάξιν καλὴν λαβόντε* E. 1006.

Βάπτειν. *μελαγχόλους ἔβαψεν ἰοὺς* T. 574. *χιτῶνα τόνδ᾽ ἔβαψα* T. 580. *ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ* Aj. 95.

Βάρβαρος. *ποῦ γῆς; πατρῴας, εἴτε βαρβάρου;* T. 236. *Ὀμφάλῃ τῇ βαρβάρῳ* T. 252. *τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω* Aj. 1263. *ὁ δοῦλος, οὐκ τῆς βαρβάρου μητρὸς γεγὼς* Aj. 1289. *Πέλοπα βάρβαρον Φρύγα* Aj. 1292. *βάρβαρον αἶαν* E. 95. *νόμος γάρ ἐστι τοῖσι βαρβάροις Κρόνῳ θυηπολεῖν βροτεῖον ἀρχῆθεν γένος* Androm. V. 3. *βαρβάρων εὐοσμίας* Laoc. I. 2. *φιλάργυρον δὲ πᾶν τὸ βάρβαρον γένος* Tereus II. *αἱ μὲν ξένους πρὸς ἄνδρας, αἱ δὲ βαρβάρους* Tereus VII. 9.

Βαρβαροῦν. *κακῷ κλάζοντας οἴστρῳ καὶ βεβαρβαρωμένῳ* A. 1002.

Βαρκαῖος. *Βαρκαίοις ὄχοις* E. 727.

Βάρος. *ἔσται ποτ᾽ ἄρα τοῦτο Καδμείοις βάρος* C. 408. *βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει* C. 1142. *καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος* A. 1256. *μέγα βάρος μ᾽ ἔχων ἔπαισε* A. 1273. *ὠδίνουσα συμφορᾶς βάρος* T. 325. *ἐπί μοι μελέῳ βάρος ἄπλετον ἐμμέμονε φρὴν* T. 984. *τί δ᾽ ἐνήλλακται τῆς ἀμέριας νὺξ ἥδε βάρος;* A. 209. *τῆς νῦν πημονῆς λύσεις βάρος* E. 939. *βάρος περισσὸν γῆς* I. T. XXVII. 3.

Βαρυάλγητος. *βαρυάλγητα δὴ* Aj. 200.

Βαρυαχής. *βαρυαχεῖ μόρῳ* C. 1561.

Βαρυβρεμέτης. *Διὸς βαρυβρεμέτα γένος* A. 1117.

Βαρυβρώς. *στόνον ἀντίτυπον βαρυβρῶτα* P. 694.

Βαρύνεσθαι. *κακοῖσιν οἷς ἐγὼ βαρύνομαι* T. 152. *καινέτω τις, εἰ βαρύνεται, τῶν ἔνδον* E. 820. *κἀγὼ βαρυνθεὶς, τὴν μὲν οὖσαν ἡμερὰν μόλις κατέσχον* R. 781. *χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων* Aj. 41. *μὴ βαρυνθῶσιν κακῇ ὀσμῇ* P. 890. *ὀσμῆς μόνον γ᾽ ὡς μὴ βαρυνθήσεσθέ μου* Philoct. ad Troj. III.

Βαρύποτμος. *βαρύποτμα κακὰ* C. 1449. *ὦ βαρύποτμε* P. 1096.

Βαρύς. *δυσμενῆ σε καὶ βαρὺν* R. 546. *βαρὺς δ᾽ ὅταν θυμοῦ περάσῃς* R. 673. *κείνοις ὁ τύμβος δυστυχῶν ὁ σὸς βαρὺς* C. 408. *βαρεῖαν ἡδονὴν νικᾶτέ με λέγοντες* C. 1204. *μῆνιν βαρεῖαν εἰκάθειν* C. 1328. *βαρείας αἰτίας ἐλεύθερον* A. 445. *ἥ τ᾽ ἄγαν σιγὴ βαρὺ δοκεῖ* A. 1251. *δυστυχῆ τε καὶ βαρὺν αἰῶνα* T. 6. *θάλλοντα, κοὐ νόσῳ βάρυν* T. 234. *ᾧ μηδέν ἐστ᾽ οἴκοις βαρὺ* T. 732. *βαρεῖαν ἄψοφον βάσιν* T. 969. *μενῶ σ᾽ ἐγὼ, καὶ νέρθεν ὢν, ἀραῖος εἰσαεὶ βαρὺς* T. 1204. *βαρείαις δυσπραξίαις* Aj. 759. *βαρείας τύχης* Aj. 980. *ἐν γήρᾳ βαρὺς* Aj. 1017. *βαρείας νοσηλείας πλέα* P. 39. *ἀθυρόστομος βαρεῖ᾽ ἀχὼ* P. 187. *βαρεῖα τηλόθεν αὐδὰ* P. 208. *ὀργῇ βαρείᾳ* P. 368. *βαρύς τε, καὶ βαρεῖαν ὁ ξένος φάτιν τήνδ᾽ εἶπε* P. 1045. *νόσου βαρείας* P. 1330. *τοῖς ξυνοῦσιν ὢν βαρὺς* Acris. VII. 2. *ὅρκος γὰρ οὐδεὶς ἀνδρὶ φηλήτῃ βαρὺς* I. T. XVI. 5. *γήρᾳ βαρεῖς* R. 17.

Βαρύστονος. *λείπει μὲν οὐδ᾽ ἃ πρόσθεν ἤδεμεν τὸ μὴ οὐ βαρύστον᾽ εἶναι* R. 1233.

Βαρύψυχος. *ἀνδρὸς κακοῦ τε καὶ βαρυψύχου* Aj. 319.

Βάσανος. *χρησάμενος δὴ βασάνῳ* R. 493. *βασάνῳ θ᾽ ἡδύπολις ὤφθη* R. 510. *τάχ᾽ εἰς βάσανον εἶ χεροῖν* C. 835.

Βασίλειος. *βασιλείοισι νόμοις* A. 382. *ἢ φύσει μὲν ἦν βασίλεια* Aj. 1302.

Βασιλεύς. *ἀνδρός γ᾽ ἀρίστου βασιλέως τ᾽ ὀλωλύτος* R. 257. *ἐξ οὗ καὶ βασιλεὺς καλεῖ ἐμὸς* R. 1202. *ἐκ τοῦ κατ᾽ ἄστυ βασιλέως τάδ᾽ ἄρχεται* C. 67. *βασιλεὺς χώρας τῆσδε Κρέων* A. 156. *Ἠδωνῶν βασιλεὺς* A. 956. *τί δ᾽ αὖ τόδ᾽ ἄχθος βασιλέων ἥκεις φέρων;* A. 1172. *ὁ πάντα κραίνων βασιλεὺς Κρονίδας* T. 127. *κλέπτουσι μύθους οἱ μέγαλοι βασιλῆς* Aj. 189. *τούς τε δισσάρχας ὀλέσσας βασιλεῖς* Aj. 390. *διπλοῖ βασιλεῖς Ἀτρεῖδαι* Aj. 959.

Βασιλίς. *τὴν βασιλίδα μούνην λοιπὴν* A. 941. *σκαλμῇ γὰρ ὄρχεις βασιλὶς ἐκτέμνουσ᾽ ἐμοὺς* Troil. II.

Βάσις. *βάσει βάσιν ἁρμόσαι* C. 199. *τοῦ με τήνδ᾽ ἐφίστασαι βάσιν* T. 339. *ξένων γὰρ ἐξόμιλος ἥδε τις βάσις* T. 966. *ὡς φίλου προκηδομέναν βαρεῖαν ἄψοφον φέρει βάσιν* T. 968. *κυνὸς*

Λακαίνης ὥς τις εὔρινος βάσις Aj. 8. ἐπ' ἀνδρὶ δυσμενεῖ βάσιν κυκλοῦντα Aj. 19. τί δῆτα ποίμναις τήνδ' ἐπεμπίπτει βάσιν; Aj. 42. οὐκ ἔχων βάσιν P. 691. τήνδε τ' ἔμπνουν βάσιν παύσοντας ἄλγους P. 1378. ἀντέρειδε νῦν βάσιν σὴν P. 1403. τροχῶν βάσεις E. 718.

Βαστάζειν. ἃ βαστάζω χεροῖν P. 655. οὐδὲν ὄντα βαστάζω χεροῖν E. 1129. Ὀρέστου σῶμα βαστάζω E. 1216. αὐτὸς σὺ βάσταζε E. 1470. νεωτέρῳ τῳ τοῦτο βαστάζειν πρόθες A. 216. τὰν οὐδείς ποτ' ἐβάστασεν P. 1127. πρῶτος ὥς με βαστάσῃ πεπτῶτα Aj. 827. τίς σε βαστάσῃ φίλων Aj. 920. σῶμα βαστάσαι δότε C. 1105. ἆρ' ἐστὶ βαστάσαι με; P. 657. χερσὶ βαστάσασα E. 905.

Βατὸς. ἕρπειν ἔς τε τἄβατα, καὶ πρὸς τὰ βατὰ Aloadæ XI. 7.

Βαφή. ὃς τὰ δείν' ἐκαρτέρουν, βαφῇ σίδηρος ὣς Aj. 651.

Βέβαιος. τοξεύματα βέβαια A. 1085. εἴπερ Ἑρμοῦ τήνδε πομπεύω τέχνην βέβαιαν T. 621. ὁμιλία πιστή τε καὶ βέβαιος P. 71. βέβαιαι κτήσεις Eriph. I.

Βέβηλος. ἢ πρὸς βεβήλοις, ἢ πρὸς ἄλσεσιν θεῶν C. 10.

Βέλος. ἀπ' ἀγκυλῶν βέλεα R. 204. θυμῷ βέλη ἔρξεται ψυχᾶς ἀμύνειν R. 893. χειρὸς τῆς ἀνικήτου βέλη C. 1515. δύσομβρα φεύγειν βέλη A. 358. χεροῖν μὲν ὡς ἄφυκτ' ἔχων βέλη T. 265. τάνδ' αἰχμὰ βέλεος κακοῦ ξυνεῖλε T. 885. ἔγχος τοὐμὸν, ἔχθιστον βελῶν Aj. 658. δείματος ἦν μοι προβολὰ καὶ βελέων θούριος Αἴας Aj. 1213. θεῶν ἀμάχητα βέλη P. 198. βελέων ἀλκὰν P. 1151. δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε P. 1287. ἢν τόδ' ὀρθωθῇ βέλος P. 1299. μὴ πρὸς θεῶν μεθῇς βέλος P. 1300. βέλεσι τοῖς Ἡρακλέους εἴρξω P. 1406.

Βελτίων. μανθάνειν βελτίονα I. T. C. 5.

Βῆμα. μήκετι τοῦδ' ἀντιπέτρου βήματος ἔξω πόδα κλίνῃς C. 193. Διὸς εὔφρονι βήματι μολόντι τάνδε γᾶν E. 162.

Βῆσσα. μινύρεται θαμίζουσα μάλιστ' ἀηδὼν χλωραῖς ὑπὸ βάσσαις C. 673. ἐν εὐανέμοις βάσσαις Aj. 198.

Βία. γῆς τῆσδ' ἀπωσθῆναι βίᾳ R. 670. πρὸς βίαν ἠλαυνέτην R. 805. πόλις βίᾳ ἤλαυνέ μ' ἐκ γῆς C. 440. ἀπάξων ἄνδρα πρὸς βίαν ἐμοῦ C. 657. τίς ἄν με τῶνδε συμμάχων ἕλοι βίᾳ; C. 815. πρὸς βίαν πορεύομαι C. 845. εἰργάσω βίᾳ φίλων C. 854. ἀποσπάσας βίᾳ οἴχει C. 867. ἄξω βίᾳ C. 874. χειρωθεὶς βίᾳ C. 903. ἄγεις θ' ἃ χρῄζεις, καὶ παρίστασαι βίᾳ C. 916. κεῖνον ἐκβαλὼν βίᾳ C. 1343. νόμου βίᾳ A. 59. βίᾳ πολιτῶν δρᾶν A. 79. Ἰφίτου βίαν T. 36. θήρειος βία T. 1061. βίᾳ κατειργάσασθε Λερναίαν γ' ὕδραν T. 1096. ὑβριστὴν, ἄνομον, ὑπέροχον βίαν T. 1098. βίᾳ ξυναρπασθεῖσαν Ἀργείων ὕπο Aj. 498. βίᾳ σ' ἀποσπᾶν Aj. 1176. πρὸς βίαν θάψειν ἐμοῦ Aj. 1327. μηδ' ἡ βία σε μηδαμῶς νικησάτω τοσόνδε μισεῖν Aj. 1335. πρὸς βίαν τὸν ἄνδρ' ἄγειν P. 90. Ὀδυσσέως βία P. 314. ἐκ βίας μ' ἄξοντες, ἢ λόγοις P. 563. ἡ θεῶν βία καὶ νέμεσις P. 602. κλέψαι τε, χ' ἁρπάσαι βίᾳ P. 644. βίᾳ στελοῦσί σε P. 983. κατασκάψαι βίᾳ P. 998. καί σ' ἐς τὰ Τροίας πέδι' ἀποστελῶ βίᾳ P. 1297. ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾶν E. 256. τὰ σὰ ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βία E. 620. ἄστομοι πῶλοι βίᾳ φέρουσιν E. 725. τοῖσδε δουλεύω βίᾳ E. 1192. πρὸς χάριν τε, κοὐ βίᾳ λέγω Aeth. I. 1. μὴ μάχου βίᾳ Lacæn. II. 3. ἄφθιτος βία I. T. XXIII. 3. τὸ πρὸς βίαν πιεῖν ἴσον κακὸν πέφυκε τῷ διψᾶν βίᾳ I. T. XLIII. 2.

Βιάζεσθαι. βιάζομαι τάδε A. 66. ὑπερβὰς νόμους βιάζεται A. 667. ἐκ σοῦ βιάζονται τάδε A. 1073. οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται I. T. IV. 2. ᾧ βιάζεσθαι πάρα Aj. 1160. πάντων ἄριστον μὴ βιάζεσθαι θεοὺς Thyest. III. 1. ἦλθε τοὔνειδος τάχ' ἂν ὀργῇ βιασθὲν R. 524. βιασθεὶς πολλα κἀντιβὰς E. 575.

Βιαῖος. βιαίας ἔχεται πόλις νόσου A. 1140.

Βιβάζειν. ὡς αὐτίκ' Ἄργος δὴ τὸ Καδμείων πέδον τιμῇ καθέξον, καὶ πρὸς οὐρανὸν βιβῶν C. 381.

Βιόδωρος. ὅσα πέμπει γᾶ βιόδωρος P. 1162. Ἰνάχου παῖσιν βιοδώροις Inach. XII. 2.

Βίος. ἐν συμφοραῖς βίου R. 33. ὀρ-

θῶσαι βίον R. 39. ἄμοιρον ἐκτρίψαι βίον R. 248. τέχνη τέχνης ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ R. 382. οὔ τοι βίου μοι τοῦ μακραίωνος πόθος R. 518. ῥᾷστα τὸν βίον φέρει R. 983. εἴπερ τι τοῦ σαυτοῦ βίου κήδει R. 1060. ποίμναις τὰ πλεῖστα τοῦ βίου ξυνεσπόμην R. 1125. ἔργον μεριμνῶν ποῖον, ἢ βίον τίνα; R. 1124. σπάνιν ἴσχειν τοῦ βίου R. 1461. τὰ λοιπὰ τοῦ πικροῦ βίου R. 1487. βίου λῴονος κυρεῖν R. 1513. καὶ γὰρ ἃ 'κράτησας οὔ σοι τῷ βίῳ ξυνέσπετο R. 1523. κάμψειν βίον C. 91. βίου δότε πέρασιν C. 102. βίου τροφὰς C. 338. βίου τροφεῖα πορσύνουσ' ἀεὶ C. 341. τὰ λοίσθι' αἰτεῖ τοῦ βίου C. 583. Ἥλιος δοίη βίον τοιοῦτον, οἷον κἀμὲ, γηρᾶναι C. 869. οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν λαμπρὸν ποιεῖσθαι C. 1143. ἃ τὸν τοῦδ' οὔ ποτ' εὐφρανεῖ βίον C. 1353. ἄλλους ἐπαιτῶ τὸν καθ' ἡμερὰν βίον C. 1364. ἥκει βίου τελευτὴ C. 1473. ῥοπὴ βίου μοι C. 1508. τὸν τελευταῖον βίον κρύψων παρ' Ἅιδην C. 1551. ἔμοιγ' ὁ μέλλων βίος οὐ βιωτὸς C. 1692. ὀλβίως γ' ἔλυσε τέλος βίου C. 1721. πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον A. 54. καὶ τίς βίος μοι, σοῦ λελειμμένῃ, φίλος; A. 548. πέλας ἤδη τὸν Ἅιδην εἰσορῶσι τοῦ βίου A. 581. πρίν μοι μοῖραν ἐξήκειν βίου A. 896. τὸν βίον τελεῖν A. 1114. οὐκ ἔσθ' ὁποῖον στάντ' ἂν ἀνθρώπου βίον οὔτ' αἰνέσαιμ' ἄν, οὔτε μεμψαίμην ποτὲ A. 1156. κείνου βίον σώσαντος T. 84. ἡδοναῖς ἄμοχθον ἐξαίρει βιὸν T. 147. ζῆν ἀλυπήτῳ βίῳ T. 167. τὸ κάλλος αὐτῆς τὸν βίον διώλεσε T. 465. λυμαντὴν βίου T. 795. πατρός τ' ἐκείνης τ' ὠρφανισμένος βίου T. 944. ἀπαράξαι κρᾶτα βίου T. 1017. αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου Aj. 473. ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος Aj. 553. ὅτ' αὐτῷ θάνατον ἢ βίον φέρει Aj. 802. ἔς τ' ἀπέψυξεν βίον Aj. 1031. πάντων ἄμμορος ἐν βίῳ P. 182. ὅταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον σκοπεῖν μάλιστα P. 405. μὴ φείσῃ βίου P. 749. ἀπὸ γὰρ βίον αὐτίκα λείψω P. 1158. τί σ' ἔτ' ἐν βίῳ τεύξω τὸ μέτοπιν P. 1188. ἐκ τῶν πόνων τῶνδ' εὐκλεᾶ θέσθαι βίον P. 1422. νοσφιεῖς βίου Πάριν P. 1427. τὸν ἐμὸν εἷλον βίον πρόδοτον E. 207. ὄφρα με βίος ἔχῃ E. 225. σοὶ δὲ πλουσία τράπεζα κείσθω, καὶ περιρρείτω βίος E. 362. βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις; E. 392. ζῶ βίον μοχθηρὸν E. 599. δυστυχῆ τρίβει βίον E. 602. ζῶσαν ἀβλαβεῖ βίῳ E. 650. τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς E. 768. ἄφιλος αὐανῶ βίον E. 819. τοῦ βίου δ' οὐδεὶς πόθος E. 822. τὸν κασίγνητον βίῳ θάλλοντα E. 951. ἐκλιπεῖν βίον E. 1121. πότερα χερσὶν, ἢ λύμῃ βίου; E. 1195. παρ' οὐδὲν τοῦ βιοῦ κήδεσθε E. 1327. βίον λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις E. 1443. μάστιγα βίου παλίντροπον Ajax Locr. IV. 5. βίου βραχὺν ἰσθμὸν Ach. Conv. I. 5. πολλά σε ζηλῶ βίου Tereus VI. 1. πρὶν αὐτῷ παντελῶς ἤδη βίος διεκπερανθῇ, καὶ τελευτήσῃ βίον Tynd. I. 3. ἀνεῖλε, καὶ κατέστρεψεν βίον I. T. XXVI. 2. ἐν κακοῖσιν ἱμείρει βίου I. T. XXXI. 2.

Βιοστερής. ἐπὶ προσπόλου μιᾶς βιοστερῆ χωροῦντα C. 747.

Βιοτή. βιοτῆς φύσιν P. 164. πῶς ἄρα πανδάκρυτον οὕτω βιοτὰν κατέσχε; P. 690. πόθεν γὰρ ἔσται βιοτά; P. 1159. βιοτὰν ἀποβάλλειν I. T. XXXIV. 4.

Βίοτος. τὸν παρ' αὐτῷ βίοτον R. 612. ὡς λελοιπότα κεῖνον τὸν αἰεὶ βίοτον ἐξεπίστασο C. 1584. οὐδὲν ἕρπει θνατῶν βιότῳ πάμπολύ γ' ἐκτὸς ἄτας A. 614. τὸν λοιπὸν ἤδη βίοτον εὐαιῶν' ἔχειν T. 81. τὸ δ' αὔξει βιότου πολύπονον T. 117. ὀδύναν ἐξανύσαι βιότου T. 1024. ἐμὲ μὲν ὁ πολὺς ἀπολέλοιπεν ἤδη βίοτος E. 186. καλὸς γὰρ οὑμὸς βίοτος, ὥστε θαυμάσαι E. 393.

Βιοῦν. οἷον βιῶναι σφῷ πρὸς ἀνθρώπων βίον R. 1488.

Βιώσιμος. τί γὰρ μόνῃ μοι τῆσδ' ἄτερ βιώσιμον; A. 566.

Βιωτὸς. ἔμοιγ' ὁ μέλλων βίος οὐ βιωτὸς C. 1692.

Βλάβη. εἰς βλάβην φέρον R. 517. λόγων δ' ἀκοῦσαι τίς βλάβη; C. 1187. μὴ φρονεῖν πλείστη βλάβη A. 1051. συντέμνουσι γὰρ θεῶν ποδώκεις τοὺς κακόφρονας βλάβαι A. 1104. μεγάλαν προσορῶσα δόμοισι βλάβαν T. 844. τί γάρ σ' ἔδρασεν ὥστε καὶ βλάβην ἔχειν; Aj. 1325. κεῖνος ἡ πᾶσα βλάβη

P. 622. ἑκουσίοισιν ἔγκεινται βλάβαις P. 1318. ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη E. 300. ἥδε γὰρ μείζων βλάβη E. 784. ἀλλ' ἔστιν ἔνθα χ' ἡ δίκη βλάβην φέρει E. 1042. εἰ δὲ μή, μείων βλάβη Aloadæ IX. 2. ὅταν αὐτός τις αὑτῷ τὴν βλάβην προσθῇ φέρων I. T. X. 8.

Βλάπτειν. εἰ δέ τις θεῶν βλάπτοι Aj. 455. ὅταν τις θεῶν βλάπτῃ E. 697. ἄνδρα δ' οὐ δίκαιοι, ἐνθάνοιν, βλάπτειν τὸν ἐσθλὸν Aj. 1345. μήτ' ἄλλον ὅστις φῶς ὁρᾷ βλάψαι ποτ' ἂν R. 375.

Βλαστάνειν. θνήσκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία C. 611. ὁ μὲν Νηρηΐδος τέκνον ἄρτι βλαστάνεσκε Scyth. 1.

Βλαστεῖν. οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτὲ A. 912. οὐδ' ὃς ἂν βλαστῇ μένει νοῦς τοῖς κακῶς πράσσουσιν A. 563. βλαστεῖν βρύοντα θαλλὸν E. 422. σὸν γένος βλαστεῖν ἐᾶσαι E. 966. οὐδ' ἐν τᾷ μεγάλᾳ Δωρίδι νάσῳ Πέλοπος πώποτε βλαστὸν C. 697. ἀνθρώπου φύσιν βλαστὼν Aj. 761. ἐξ ἀριστεοῖν δυοῖν βλαστὼν Aj. 1305. εὐσεβεῖς κἀξ εὐσεβῶν βλαστόντας E. 590. δυσσεβεῖς κακῶν ἄπο βλαστόντας Alet. VII. 2. βλαστοῦσ' ὅπως ἔβλαστε R. 1376. οὐδὲν γὰρ ἀνθρώποισιν, οἷον ἄργυρος κακὸν νόμισμ' ἔβλαστε A. 296. ἐν τίνι τοῦτ' ἔβλαστεν ἀνθρώπων; E. 233. εἰ μὴ τλημονεστάτη γυνὴ πασῶν ἔβλαστε E. 440. ἃ δὲ μέγιστ' ἔβλαστε νόμιμα E. 1095. ἦ βλαστὸς οὐκ ἔβλαστεν οὑπιχώριος; Colch. IV. 1. οὐδεὶς ἔξοχος ἄλλος ἔβλαστεν ἄλλου Tereus VIII. 4.

Βλάστη. παιδὸς δὲ βλάστας R. 717. βλάστας πατρὸς γενεθλίους C. 972. τὰν πετραία βλάστα δάμασεν A. 826. τῆς ἐκεῖνος οὐδαμὰ βλάστας ἐφώνει T. 382.

Βλαστός. ἦ βλαστὸς οὐκ ἔβλαστεν οὑπιχώριος Colch. IV. 1.

Βλέπειν. πόλιν μὲν εἰ καὶ μὴ βλέπεις R. 302. σὺ καὶ δεδόρκως οὐ βλέπεις ἵν' εἶ κακοῦ R. 413. οὐ γὰρ φρονοῦντά σ' εὖ βλέπω R. 626. εἴ τινα βλέπεις C. 9. λύπῃ μόλις βλέπω C. 326. βλέπω γὰρ ἐχθρὸν φῶτα Aj. 1042. ὥς τις 'Αΐδᾳ παρακείμενος, ὁρᾷς, βλέπει P. 862. εἰς σὲ δὴ βλέπω E. 954. πεινῶν αὖ πρὸς ἴτρια βλέπω Iris I. ἐμοὶ γὰρ οὐκ ἔτ' ἐστὶν εἰς ὅτι βλέπω Aj. 514. τὰ τῶν τεκόντων ὄμμαθ' ἥδιστον βλέπειν R. 999. ἡγεῖσθε δὲ βλέπειν μὲν αὐτοὺς εἰς τὸν εὐσεβῆ βροτῶν, βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς C. 280. οὐκ ἀνασχετοῦ βλέπειν φόβου φανέντος C. 1652. τί χρή με τὸν δύστηνον εἰς θεοὺς ἔτι βλέπειν A. 923. ἄξιος βλέπειν Aj. 399. τίς φίλος τλαίη βλέπειν Aj. 917. ὀμνύντες βλέπειν τὸν οὐκ ἔτ' ὄντα ζῶντ' 'Αχιλλέα πάλιν P. 358. καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν E. 1189. εἰ δ' ἐτύγχανες βλέπων R. 348. βλέποντα νῦν μὲν ὄρθ' ἔπειτα δὲ σκότον R. 419. δεινῶς ἀθυμῶ, μὴ βλέπων ὁ μάντις ᾖ R. 747. ἐκπεπληγμένον κεῖνον βλέποντες R. 923. δεῦρό μοι φώνει βλέπων R. 1121. ὄμμασιν ποίοις βλέπων πατέρα ποτ' ἂν προσεῖδον R. 1371. τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις; C. 72. δι' ἐξ ἑνὸς βλέποντε A. 989. ὦ κτανόντας τε καὶ θανόντας βλέποντες A. 1264. τῶνδε πλεῖστον ᾤκτισα βλέπουσα T. 313. εἰ βλέποντα μὴ 'πόθουν, θανόντ' ἂν οἰμώξειαν Aj. 962. βλέποντος μὴ 'δυνήθημεν κρατεῖν Aj. 1067. ποῖ βλέπων ποτ' αὐτὰ καὶ θροεῖς; Aj. 1290. πῶς οὖν βλέπων τις ταῦτα τολμήσει λαλεῖν; P. 110. ἀνώδυνον βλέποντα P. 883. ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ ψυχὴ P. 1013. ὥσπερ ἡνίκ' ἔβλεπον R. 1470. οὐδέ με βλέποντά γ' αὖθις βλέψετον C. 1437. ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν Tereus VII. 2. οὐχὶ μαντείας γ' ἂν οὔτε τῇδ' ἐγὼ βλέψαιμ' ἂν οὕνεκα R. 858. ὅταν κενῆς εὐνῆς νεοσσῶν ὀρφανὸν βλέψῃ λέχος A. 425. εἴ του φίλων βλέψειεν οἰκετῶν δέμας T. 910. ἐς τί μοι βλέψασα E. 888. ἐς τίν' ἐλπίδων βλέψασ' ἔτ' ὀρθὴν E. 959.

Βλέφαρον. ὦ χρυσέας ἁμέρας βλέφαρον A. 104. βλέφαρον κέκλεισται Phineus II. ἤρασσ' ἐπαίρων βλέφαρα R. 1276. ἐναργὴς βλεφάρων ἵμερος A. 796. λύει κέλαινα βλέφαρα A. 1302. εὐνάζειν ἀδακρύτων βλεφάρων πόθον T. 107. μὴ σκεδάσαι τῷδ' ἀπὸ κρατὸς βλεφάρων θ' ὕπνον T. 992. ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα Aj. 85.

Βοᾶν. βοᾷ διοίγειν κλῇθρα R. 1287.

Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ Aj. 340. βοᾷ τηλωπὸν ἰώαν P. 216. ἐμμανὴς βοᾷ παραστᾶσα E. 295. βοᾷ τις ἔνδον E. 1406. βοᾶτε τὰν ὁμόσπορον Ἄρτεμιν Ὀρτυγίαν T. 212. τήνδε δ' ἔκτοσθεν βοᾶν ἔα E. 802. βοῶν γὰρ εἰσέπαισεν Οἰδίπους R. 1252. βοῶν, ἰύζων T. 789. πολλὰ δ' οἰμωγῇ βοῶν T. 792. βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος Aj. 976. βυῶν, στενάζων P. 11. βοῶσ' ἀλαλαζομένη Rhiz. II. 3. ἐνταῦθα δὴ 'βόησε τὸν δυσδαίμονα Λίχαν T. 774.

Βοή. βοῆς δὲ τῆς σῆς ποῖος οὐκ ἔσται λιμὴν; R. 420. μηδὲ μηκύνων βοὴν C. 489. τίς ποθ' ἡ βοή; τί τοὔργον; C. 887. τάχ' ἐμμίξειν βοᾷ C. 1057. οὐδ' ἔτ' ὠρώρει βοὴ C. 1622. ἀθλίας ἄσημα βοῆς A. 1209. ἀνάπαυε βοὴν T. 1264. οἵαν τήνδε θωΰσσει βοὴν Aj. 334. τίνος βοὴ πάραυλος ἐξέβη νάπους Aj. 892. τάχ' ἄν τις μέγας χειμὼν κατασβέσειε τὴν πολλὴν βοὴν Aj. 1149. ᾐσθόμην βοὴν Ἀτρειδῶν τῷδ' ἐπ' ἀλκίμῳ νεκρῷ Aj. 1319. βοῆς τε καὶ δυσοσμίας γέμων P. 876. παρ' ἄντροις θόρυβος ἵσταται βοῆς P. 1263. οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς θῦσαί με; E. 630. ξὺν βοᾷ κλύουσα E. 1284. ἀπλήστου σὺν χαρᾷ βοῆς E. 1336. ἴτω Πυθιὸς βοὰ τῷ θεῷ Peleus II. 5.

Βοιωτός. Βοιωτὸς ἄλλος E. 708.

Βολή. τὴν ἀφ' ἡλίου βολῶν κέλευθον Aj. 877. πεσσὰ πεντέγραμμα, καὶ κύβων βολὰς Naupl. VII.

Βομβεῖν. βομβεῖ δὲ νεκρῶν σμῆνος I. T. XXXV.

Βορά. αἰν οὔποθ' ἡ 'μὴ χωρὶς ἐστάθη βορᾶς τράπεζα R. 1463. πρὸς χάριν βορᾶς A. 30. ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς A. 1017. εἰ θέλουσ' αἱ Ζηνὸς αἰετοὶ βορὰν φέρειν νιν A. 1040. βορᾶς ἐπωφέλημα σμικρὸν P. 274. βορᾶς μέρος προσέδοσαν P. 307. ψυχὴ τίς οὐχὶ τῆσδε τῆς θεοῦ βορά; I. T. XXIII. 8.

Βορεάς. Βορεὰς ἅμιππος A. 985. ἢ Νότου, ἢ Βορέα κύματα T. 113.

Βόρειος. Βόρειός τις ἀκτὰ C. 1240.

Βόσκειν. βόσκει δὲ τοὺς μὲν μοῖρα δυσαμερίας Tereus VIII. 4. οἰκτρὰ γὰρ βόσκειν P. 1167. τὴν πάντα βόσκουσαν φλόγα ἡλίου R. 1425. βόσκων τὴν ἀδηφάγον νόσον P. 313. ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν I. T. XXIX. ἐλπίσιν δὲ βόσκομαι A. 1246. τὸ γὰρ νεάζον ἐν τοιοῖσδε βόσκεται χώροισιν αὑτοῦ T. 144. μὰ τὴν ἐκείνου δειλίαν, ᾗ βόσκεται Atreus I. τέως δὲ κούφοις πνεύμασιν βόσκου Aj. 558.

Βόσκημα. ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα T. 764. ἐμοὶ γὰρ ἔστω τοὐμὲ μὴ λυπεῖν μόνον βόσκημα E. 364.

Βοσπόρειος. τὸ Βοσπόρειον ἐν Σκύθαις ὕδωρ Phineus IV.

Βοσπόριος. ἀκταὶ Βοσπόριαι A. 968. Βοσπορίων ποταμῶν Aj. 884.

Βοσπορίτης. ὡραία θέρους τῷ Βοσπορίτῃ Pastores IV. 3.

Βόστρυχος. βοστρύχων ἄκρας φόβας E. 449.

Βοτήρ. τὸν ἄνδρα τὸν βοτῆρα R. 837. τούτου τἀνδρὸς οὗτος ἦν βοτὴρ R. 1044. ἔστιν τις ὅστις οἶδε τὸν βοτῆρα R. 1048. ἄξει τις ἐλθὼν δεῦρο τὸν βοτῆρά μοι R. 1069. τὸν βοτῆρ' ὁρᾶν δοκῶ R. 1111. συγκατακτὰς βοτὰ καὶ βοτῆρας Aj. 232. κύνας βοτῆρας Aj. 297. βοτῆρα νικᾶν ἄνδρας ἀστίτας Alex. I.

Βοτός. σπάσασα κτησίου βοτοῦ λάχνην T. 692. ὀλέσαι Δαναῶν βοτὰ καὶ λείαν Aj. 145. συγκατακτὰς βοτὰ καὶ βοτῆρας Aj. 231. ἐν μέσοις βοτοῖς σιδηροκμῆσιν ἥσυχος θακεῖ Aj. 324. ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς Aj. 543.

Βότρυς. ἔνθα Βάκχειος βότρυς ἐπ' ἦμαρ ἕρπει Thyest. VI. 2. κλίνεται γε, κἀποπερκοῦται βότρυς Thyest. VI. 6.

Βουθερής. ἐν βουθερεῖ λειμῶνι T. 188.

Βουθοίη. Βουθοίη Δρίλωνος ἐπὶ προχοῇσι Iphicl. II.

Βουθυτεῖν. βουθυτοῦντά μ' ἀμφὶ βωμὸν ἔσχετ' ἐναλίῳ θεῷ C. 887.

Βούθυτος. βούθυτον ἑστιάν C. 1495.

Βοῦκερως. ὁ βοῦκερως Ἴακχος I. T. XCIV. 2.

Βουκόλος. βουκόλων ἀλάστορα λέοντα T. 1094. ἄδαστα βουκόλων φρουρήματα Aj. 54. ξυναρπασθεῖσα βουκόλων ὕπο Tyro XV. 2.

Βούλεσθαι. οὐ φυγεῖν σε βούλομαι R. 623. δὶς γὰρ οὐχὶ βούλομαι ἀλγεῖν

C. 363. *παραινέσαι σοι βούλομαι τὰ σύμφορα* C. 464. *τούτων ἀκοῦσαι βούλομαι* C. 485. *τοῦτο βούλομαι μαθεῖν* C. 504. *τῇ θ' αὑτοῦ φρενὶ χάριν παρασχεῖν, τῷ θεῷ θ' ἃ βούλεται* C. 1183. *κομπεῖν δ' οὐχὶ βούλομαι* C. 1209. *ἔξεστιν αὐτῇ δρᾶν, λέγειν θ' ἃ βούλεται* A. 507. *βούλει λέγειν τι, καὶ λέγων μηδὲν κλύειν;* A. 757. *ἐμπολᾶτε τὸν πρὸς Σάρδεων ἤλεκτρον, εἰ βούλεσθε* A. 1038. *οὐ βούλομαι τὸν μάντιν ἀντειπεῖν κακῶς* A. 1053. *πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλει, μέγα* A. 1168. *πρῶθ', ἃ πρῶτα βούλομαι, δίδαξον* T. 232. *εἴπερ εὐσεβεῖν βούλει* T. 1225. *δρᾶν θ' ἃ βούλεται, πάρα* Aj. 1081. *φωνῆς δ' ἀκοῦσαι βούλομαι* P. 225. *τοῦτο γὰρ βούλει μαθεῖν* P. 232. *ὅποι τ' ἐνθένδε βουλόμεσθα πλεῖν* P. 529. *βούλει λάβωμαι καὶ θίγω τι σοῦ;* P. 762. *δὶς ταῦτα βούλει καὶ τρὶς ἀναπολεῖν μ' ἔπη;* *'Αρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην* P. 1239. *βούλομαι δὲ σοῦ κλύειν* P. 1273. *σὲ βούλομαι θεοῖς τε πιστεύσαντα, τοῖς τ' ἐμοῖς λόγοις ἐκπλεῖν* P. 1373. *τοιαῦτα καὶ σὲ βούλομαι ποιεῖν, τέκνον* E. 337. *τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι* E. 1043. *μὴ μακρὰν βούλει λέγειν* E. 1250. *τὰ δὲ ῥηθέντα βούλου μηδὲ μεμνῆσθαι* R. 1057. *πάντα μὴ βούλου κρατεῖν* R. 1522. *ὁ μὴ σὺ βούλου παθεῖν* C. 1538. *δορὶ βούλου κρατεῖν* Aj. 765. *ἀεί τι βούλου χρήσιμον προσμανθάνειν* I. T. CI. 3. *οὐδ' ἂν σε λυπήσασα βουλοίμην βραχὺ αὐτὴ μέγ' εὑρεῖν κέρδος* E. 1304. *τοὐμὸν δ' ἐγὼ, κεἰ σμικρόν ἐστι, σπέρμ' ἰδεῖν βουλήσομαι* R. 1077. *ταῦτ' ἀφ' ὑμῶν, ὦ ξένοι, βουλήσομαι κυρεῖν* C. 1289. *ἔς τε τὸν φίλον τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι* Aj. 681. *βουλήσει ποτὲ καὶ δειλὸς εἶναι, μᾶλλον ἢ 'ν ἐμοὶ θρασὺς* Aj. 1314. *ἥκω γὰρ οὐκ ὡς δρᾶν τι βουληθεὶς* C. 731. *τί βουληθεὶς πάρει;* E. 1100.

Βουλεύειν. *ἡ ξύννοια βουλεύει πάλαι ἐμοὶ* A. 279. *πλούτου με βουλεύουσιν ἐκβαλεῖν* E. 649. *δεῖ κἀμὲ βουλεύειν* R. 619. *πάρεσθ' ὅδε Κρέων, τὸ πράσσειν καὶ τὸ βουλεύειν* R. 1417. *τἄλλα βουλεύειν πάρα* A. 1179. *κείνων κάκ' ἐξήρυκε βουλεύων σοφῶς* P. 423. *ἄνδρα βουλεύων ἑλεῖν* E. 947. *κείνην ἴσον ἐπαιτιῶμαι τοῦδε βουλεῦσαι τάφου* A. 490. *μηδὲ τῷ ξυνειδέναι τὸ πρᾶγμα βουλεύσαντι* A. 267. *τοιαῦτα πατρὶ βουλεύσασ' ἐμῷ* T. 809. *στρατῷ σύμπαντι βουλεύσας φόνον* Aj. 1054. *οἷά μοι βεβουλευκὼς ἔχει* R. 701. *μόρῳ δε ποίῳ καί σφε βουλεύει κτανεῖν* A. 772. *μῶν τι βουλεύει νέον;* P. 1229. *οὐδὲ βουλεύσει πάλιν* E. 1046. *ταῦτ' ἐβουλεύσω ποιεῖν* R. 537. *ὦ Ζεῦ, τί μου δρᾶσαι βεβούλευσαι πέρι;* R. 738. *ταῦτα δή με καὶ βεβούλευνται ποιεῖν* E. 385. *βεβούλευμαι τελεῖν* E. 947. *οὐκ οἶδ' ὅπως σε φῶ βεβουλεῦσθαι καλῶς* R. 1367. *δοκεῖς παρ' ἡμῖν οὐ βεβουλεῦσθαι κακῶς* T. 589.

Βούλευμα. *ἔθ' αὐτός εἰμι τῷ βουλεύματι* R. 557. *τί μοι νεώτερον βούλευμ' ἀπ' 'Αργείων ἔχεις;* P. 560. *ἦ καὶ τὸ βούλευμ' ὡς ἐπ' 'Αργείοις τόδ' ἦν;* Aj. 44. *ξυμφορὰς βουλευμάτων* R. 45. *τῶν ἀρίστων ἅπτεται βουλευμάτων* A. 178. *ᾧ μοι ἐμῶν ἄνολβα βουλευμάτων* A. 1265. *οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν οὐδ' ἐλπὶς* T. 727. *ἀμφὶ σοῦ νέα βουλεύματ' ἐστὶ, κοὐ μόνον βουλεύματα, ἀλλ' ἔργα δρώμενα* P. 555. *τὰ Διός τε φράσων βουλεύματά σοι* P. 1415. *ἣν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασιν* E. 967. *γενοῦ πρόφρων ἀρωγὸς τῶνδε τῶν βουλευμάτων* E. 1331. *συντέμνεται Κύπρις τὰ θνητῶν καὶ θεῶν βουλεύματα* I. T. XXIII. 17.

Βουλευτέος. *τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον* E. 16.

Βουλή. *νέας βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις* Aj. 736. *ἅ γ' ἔλαβες βουλαῖς ἐμαῖς* P. 1247. *βουλῆς γάρ ἐστιν ἔχθιόν γ' οὐδὲν κακῆς* E. 1047. *μήδεα παντοδαπᾶν βουλᾶν* Phædr. I. 2. *οὐ γάρ τι βουλῆς ταὐτὸ καὶ δρόμου τέλος* I. T. LXVIII. 2.

Βούνομος. *ἀγέλαις βουνόμοις* R. 26. *ὁ τὰν Κρίσαν βούνομον ἔχων ἀκτὰν* E. 181.

Βούπρωρος. *ἀνδρείῳ κύτει βούπρωρος* T. 13.

Βοῦς. *λείας ἀπαρχὴν, βοῦς* T. 763. *τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν* Aj. 62. *ἐπὶ βοῦς ἀγελαίας* Aj. 175. *ἐν ἑλίκεσσιν βουσὶ πεσὼν* Aj.

374. *μέγας πλευρὰ βοῦς* Aj. 1253. *ὅμοια καὶ βοῦς ἐργάτης ἐργάζεται* Achæor. Conv. I. 3. *Ἄθως σκιάζει νῶτα Λημνίας βοὸς* Lemn. III.

Βραβεύς. *εἰσεκήρυξαν βραβῆς δρόμων διαύλων πεντάεθλα* E. 690. *οἱ τεταγμένοι βραβῆς* E. 709.

Βραδύνειν. *καὶ μὴ βράδυνε* P. 1400. *τἀπὸ σοῦ βραδύνεται* C. 1623. *ἡ δ' ὁδὸς βραδύνεται* E. 1501.

Βραδύς. *βραδὺς εὕδει* C. 306. *χρόνῳ βραδὺς* C. 875. *σχολῇ βραδὺς* A. 231. *ξὺν χρόνῳ βραδεῖ μόλων* T. 395. *μακρῷ χρόνῳ βραδεῖς* T. 599. *βραδεῖαν ἡμᾶς ἆρ' ὁ τήνδε τὴν ὁδὸν πέμπων ἔπεμψεν, ἢ 'φάνην ἐγὼ βραδὺς* Aj. 739. *βραδεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ* I. T. LXX. 1.

Βραδυτής. *τοῖσιν ἀγοῦσι κλαύμαθ' ὑπάρξει βραδυτῆτος ὕπερ* A. 932.

Βραχίων. *ὦ φίλοι βραχίονες* T. 1092.

Βραχύς. *ἀρχὴν βραχεῖαν ἐλπίδος* R. 121. *ἐπ' ἄκρου λάου βραχὺς ὀκλάσας* C. 195. *ὥστε βραχέ' ἐμοὶ δεῖσθαι φράσαι* C. 570. *ἐν βραχεῖ δὴ τήνδε μ' ἐξαιτεῖ χάριν* C. 586. *σὺ βραχέα ταῦτα δ' ἐν καιρῷ λέγεις* C. 809. *τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν* C. 880. *τοὔργον τοὐμὸν ἔσται δὴ βραχὺ* C. 1118. *βραχύν τιν' αἰτεῖ μῦθον* C. 1162. *βραχεῖ ξὺν ὄγκῳ* C. 1341. *ὁ μῦθος ἐν βραχεῖ φράσαι πάρεστιν* C. 1581. *χρόνῳ βραχεῖ στραφέντες* C. 1648. *ὁδὸς βραχεῖα* A. 232. *πρίν γ' ἂν εἴπῃς ἱστορούμενος βραχὺ* T. 415. *χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις διδοὺς* T. 1219. *ἡμέρας μέρος βραχὺ* P. 83. *λόγῳ δέ σε βραχεῖ τοῦτ' ἐκδιδάξω* P. 435. *ἐν βραχεῖ ξυνθεὶς λέγω* E. 673. *ἐν βραχεῖ χαλκῷ μέγιστον σῶμα* E. 757. *μικρὰ λείψαν' ἐν βραχεῖ τεύχει θανόντος* E. 1113. *σὲ λυπήσασα βραχὺ* E. 1304. *ῥῆσις βραχεῖα* Acris. V. I. *βραχεῖ λόγῳ καὶ πολλὰ πρόσκειται σοφὰ* Alet. II. *βίου βραχὺν ἰσθμὸν* Achæor. Conv. I. 5. *μῦθος γὰρ Ἀργολιστὶ συντέμνειν βραχὺς* Ulyss. II. 2. *φαῦλον κἂν βραχεῖ διδάσκαλον* I. T. XLIX. 3. *εἶπαθ' ὡς βράχιστα* C. 1115. *βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακὰ* A. 1327. *εἰρήσεταί που κἂν βραχίστοις* Ulyss. I.

Βρέμειν. *στόνῳ βρέμουσι δ' ἀντιπλῆγες ἀκταὶ* A. 592.

Βρίθειν. *εἴ τινος πλέον σὺ χειρὶ βρίθεις* Aj. 130.

Βροντή. *βροντήν τιν' ἢ Διὸς σέλας* C. 95. *Διός μ' αὐτίκ' ἄξεται βροντὴ πρὸς Ἅιδην* C. 1461. *βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς* Teucr. I. 2. *αἱ πολλὰ βρονταὶ διατελεῖς* C. 1514. *βροντῶν αὐγαῖς μ' εἶσι φλογίζων* P. 1199.

Βρότειος. *ἐστί σοι βρότειον οὐδὲν μαντικῆς ἔχον τέχνης* R. 709. *βρότειον γένος* Androm. V. 3.

Εἰς. ἄλγος εἰς ἓν ἔρχεται R. 62. εἰς καλὸν σύ τ' εἶπας R. 77. ἀστὸς εἰς ἀστοὺς τελῶ R. 222. οὐκ εἰς ὄλεθρον; R. 430. εἰς βλάβην φέρον R. 517. οὐ γὰρ εἰς ἁπλοῦν ἡ ζημία μοι τοῦδε τοῦ λόγου φέρει R. 519. τὸ μηδὲν ἄλγος εἰς μέγ' οἴσετε R. 639. ἐμαυτὸν εἰς ἀρὰς δεινὰς προβάλλων R. 743. ἐξ ἦρος εἰς Ἀρκτοῦρον R. 1137. κάκ' εἰς μέγιστ' ἔσωσεν R. 1180. εἰς ἐκεῖνον ἐλεύσσομεν R. 1254. εἰς Ἅιδου μόλων R. 1372. ποίας γὰρ ἀστῶν ἥξετ' εἰς ὁμιλίας; R. 1489. εἰς ὅσον κλύδωνα δεινῆς ξυμφορᾶς ἐλήλυθεν R. 1527. σὺ γάρ νιν εἰς τόδ' εἴσας αὔχημα C. 713. ἧκέ μοι γένει τὰ τοῦδε πενθεῖν πήματ' εἰς πλεῖστον πόλεως C. 739. ἄθλιον ὄνειδος ὠνείδισ' εἰς σὲ C. 754. οὐχ ἵν' εἰς δόμους ἄγῃς C. 784. νομίζεις δυστυχεῖν ἔμ' εἰς τὰ σὰ C. 800. τάχ' ἄν τι μηνίουσιν εἰς γένος θεοὶ C. 965. εἰς ἐμαυτὸν τοὺς ἐμούς θ' ἁμαρτάνων C. 967. μηδὲν ξυνιεὶς ὧν ἔδρων, εἰς οὓς τ' ἔδρων C. 976. εἰς ἔλεγχον χειρὸς μόλων C. 1297. ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ συμπονεῖν C. 1368. ὡς μάλιστ' ἂν εἰς πόθον λάβοις C. 1677. ἔτος εἰς ἔτος A. 341. εὐσεβεῖν εἰς τοὺς κακοὺς A. 731. εἰς παλαιὸν θᾶκον ὀρνιθοσκόπον ἵζων A. 999. χρὴ δὲ τά γ' εἰς θεοὺς μηδὲν ἀσεπτεῖν A. 1349. εἰς Ἅιδου μολεῖν T. 4. εἰς ἀγῶνα τῷδε συμπεσὼν μάχης T. 20. εἰς δομούς τε κἀκ δόμων αἰεὶ τὸν ἄνδρ' ἔπεμπε λατρεύοντά τῳ T. 34. εἰς τὸν ὕστερον χρόνον T. 80. τοῦ τῆσδ' ἔρωτος εἰς ἅπανθ' ἥσσων T. 489. ποτοῦ χυθέντος εἰς γῆν T. 706. ταρβῶ μὲν εἰς λόγου στάσιν τοιάνδ' ἐπελθὼν T. 1181. πρόθυμος εἰς ὁδὸν Aj. 37. εἰσέβαλλον εἰς ἕρκη κακὰ Aj. 60. γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν Aj. 79. ὑπέρκοπον μηδέν ποτ' εἴπῃς εἰς θεοὺς ἔπος Aj. 128. τοιούσδε λόγους ψιθύρους πλάσσων εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεὺς Aj. 149. εἰς τοσοῦτον ἦλθον Aj. 729. τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν Aj. 1249. ὀρθὸς εἰς ὁδὸν πορεύεται Aj. 1254. εἰς ἄναιδες δός μοι σεαυτὸν P. 83. εἰς ἐμὲ τοὔνειδος ἕξεις ἐνδίκως ὀνειδίσαι P. 523. πάταξον εἰς ἄκρον πόδα P. 748. χρόνον τοσοῦτον εἰς ὅσον τά τ' ἐκ νεὼς ναῦται στέλωσι P. 1076. εἰς ὅσον γ' ἐγὼ σθένω P. 1403. ἐσθλὸς εἰς ἡμᾶς γεγὼς E. 24. εἰς οἰκείας ἄτας ἐμπίπτεις E. 215. κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν E. 374. ἡμῖν ἀρωγὸν εἰς ἐχθροὺς μολεῖν E. 454. σὲ δεσπότιν ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω E. 598. κήρυσσέ μ' εἰς ἅπαντας E. 606. χωρεῖν ἂν εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ E. 615. εἰς σὲ δὴ βλέπω E. 934. δέξαι με τὴν μηδὲν εἰς τὸ μηδὲν E. 1066. ἀπελθεῖν εἰς

ἀκτὴν Aeg. I. 1. οὐδὲν ἕρπει ψεῦδος εἰς γῆρας χρόνου Acris. II. ἐκπώματ' εἰς ἀριθμὸν ἑξήκοντα Acris. XI. 4. ξύλ' εἰς ἐκκαύματα Herc. II. 1. εὗρε πεντηκοντάδας εἰς χίλια Naupl. V. 5. οὔτε μ' εἰς Δωδῶνος οὔτε Πυθικὰς γύας τις ἂν πείσειεν Niptr. 1. χειρὸς εἰς τὰ δεξιὰ Triptol. I. εἰς τὸ μόρσιμον ἥξεις I. T. XXXII. 2. ὅρκους γυναικὸς εἰς ὕδωρ γράφω I. T. XXXVI. οὔ πώ ποθ' ὕβρις εἰς τὸ σῶφρον ἵκετο ἥβης I. T. XLVII. 2.

Εἰσάγειν. νὺξ γὰρ εἰσάγει καὶ νὺξ ἀπώθει διαδεδεγμένη πόνον T. 29. καὶ σέ γ' εἰσάξω P. 674. ὅταν σε καιρὸς εἰσάγῃ E. 39.

Εἰσαεί. ἀραῖος, εἰσαεὶ βαρὺς T. 1204. ἢ τὸν εἰσαεὶ λεηλατήσει χρόνον; Aj. 342. ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεὶ Aj. 570.

Εἰσακούειν. τότ' εἰσακούων πάντ' ἐπιστήσει C. 290. τοσαῦτα φωνήσαντος εἰσηκούσαμεν ξύμπαντες C. 1645. ἔχεις τι κεἰσήκουσας; A. 9. ὧν τ' οὐδὲν εἰσήκουσας T. 337. τούτου λέγοντος τἀνδρὸς εἰσήκουσ' ἐγὼ T. 351. πολύς σου ταὐτά γ' εἰσήκουσ' ὄχλος T. 424. ὡς οὔποτ' αὐτοῦ πρόσθεν εἰσήκουσ' ἐγὼ Aj. 318. τοιόνδε χρησμὸν εἰσηκούσαμεν E. 38. ὀρθά γ' εἰσηκούσαμεν E. 1099. τοῦδ' εἰσάκουσον ἀνδρὸς Aj. 789. τινὸς βροτῶν λόγον τόνδ' εἰσακούσασα E. 884. τὸν κασίγνητον βίῳ θάλλοντά γ' εἰσήκουον E. 952.

Εἰσάλλεσθαι. ἐπὶ κρατί μοι πότμος δυσκόμιστος εἰσήλατο A. 1346. Ἡρακλεῖ μέσον ἐς τὸν αὐχέν' εἰσαλοίμην I. T. XXXVII. 2.

Εἰσαναβαίνειν. ἀκροτάταν εἰσαναβᾶσ' ὤρουσεν εἰς ἀνάγκαν R. 876.

Εἰσάπαξ. εἰσάπαξ τρέσας C. 1418. ἐπείπερ εἰσάπαξ ξυνήνεσα P. 122. ὃς οὐκ ἂν εἷλετ' εἰσάπαξ εἰπεῖν ὅπου μηδεὶς ἐῴη P. 443.

Εἰσβαίνειν. τοιαῦτα καὐτὸς εἰσέβην κακὰ C. 997. ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη T. 298.

Εἰσβάλλειν. εἰσέβαλλον εἰς ἕρκη κακὰ Aj. 60. ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαὶ E. 719.

Εἰσγράφειν. ἅ, Σελλῶν ἐσελθὼν ἄλσος, εἰσεγραψάμην πρὸς τῆς πατρῴας καὶ πολυγλώσσου δρυὸς T. 1169.

Εἰσδέχεσθαι. γῆς μήτ' εἰσδέχεσθαι R. 238. ὥς σ' ἀπ' ἐλπίδων οὐχ ὧνπερ ἐξέπεμπον, εἰσεδεξάμην E. 1128. τίν' εἰσδέδεγμαι πημονὴν ὑπόστεγον λαθραῖον T. 376.

Εἰσδῦναι. οἷον εἰσέδυ κέντρων με τῶνδ' οἴστρημα R. 1317.

Εἰσείδειν. οὐ γὰρ εἰσειδόν γέ που R. 105. κρεμαστὴν τὴν γυναῖκ' εἰσείδομεν R. 1263. σίδηρον ὀπτὸν ἐκ πυρὸς θραυσθέντα καὶ ῥαγέντα πλεῖστ' ἂν εἰσίδοις A. 476. μή ποτ' εἰσίδοιμί σε πρὸς τοὐμὸν οὕτω σπέρμα χωρήσαντά που T. 303. πῶς ἂν εἰσίδοιμί σ' ἄθλιός γ' ἀνήρ; P. 1214. ὅπως μηκέτ' ἦμαρ ἄλλ' εἰσίδω A. 1333. εἰσίδω δ' ἐσθήματα φοροῦντ' ἐκείνῳ ταὐτὰ E. 268. δι' ἅ νιν εἰσιδεῖν θέλω R. 768. οὐδ' εἰσιδεῖν δύναμαί σέ R. 1303. ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν Aj. 70. πῶς με τλήσεταί ποτ' εἰσιδεῖν Aj. 464. εἰ ζῶντ' ἐκεῖνον εἰσιδεῖν θέλοι Aj. 755. εἰσιδεῖν ὁμιλίαν πατρὸς E. 417. εἴτ' οὖν ἀπ' ἀγρῶν, εἴτε κἀνθάδ' εἰσιδὼν R. 1049. αὐτὸν εἰσιδών τις Aj. 1151. ἥδομαι μὲν σ' εἰσιδὼν παρ' ἐλπίδα ἀνώδυνον βλέποντα P. 882. τότ' ἄν τις εἰσίδοιτο τὴν αὐτοῦ σκοπῶν πρᾶξιν T. 151.

Εἰσεμβαίνειν. κόρης νυμφεῖον Ἅιδου κοῖλον εἰσεμβαίνομεν A. 1205.

Εἰσέπειτα. τά τ' οὖν πάρος τά τ' εἰσέπειτα Aj. 35.

Εἰσέρχεσθαι. εἰσέρχεται μὲν ἰχθύων πλωτῷ γένει ἔρως I. T. XXIII. 9. πυλάς εἰσῆλθε R. 1244. φρένας εἰσῆλθε τοῖν τρισαθλίοιν ἔρις κακὴ C. 372. τούσδε τοὺς νόμους εἰσῆλθ' ἔχων C. 907. ἔσω δ' ἐσῆλθε Aj. 296. εἰσῆλθε λάμπρος E. 685. δίκαι' ἄσκουσαν εἰσελθὼν πόλιν C. 913. Σελλῶν εἰσελθὼν ἄλσος T. 1169. ἀρήξατ' ἐσελθόντες Aj. 329. ὡς ἄθυμος εἰσελήλυθας R. 319.

Εἰσιέναι. γόον δὲ μηδὲν εἰσίτω δάκρυ T. 1201. ὧν μαθόντες αὖθις εἴσιτον P. 541. εἴσιθ' εἴσω E. 802. ἀλλ' εἴσιτε E. 1052. εἴσιτ', ὦ ξένοι E. 1323. πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι E. 1339.

Εἰσκηρύσσειν. εἰσεκηρύξαν βράβης δρόμων διαύλων πεντάεθλα E. 691.

Εἰσκομίζειν. ὡς τάχιστ' ἐς οἶκον εἰσκομίζετε R. 1429.
Εἰσλεύσσειν. εἰσλεύσσειν οἰκεῖα πάθη Aj. 260.
Εἰσοίκησις. προσκύσαντες τὴν ἔσω ἄοικον εἰσοίκησιν P. 534.
Εἰσοπίσω. ὕστερον εἰσοπίσω P. 1105.
Εἰσόπτεσθαι. οἷ' ἔργ' ἀκούσεσθ', οἷα δ' εἰσόψεσθε R. 1224. θέαμα δ' εἰσόψει τάχα R. 1295. ἔνθα μή ποτ' εἰσόψεσθ' ἔτι R. 1412.
Εἰσορᾶν. ὥσπερ καὐτὸς εἰσορᾷς R. 22. ὅνπερ εἰσορᾷς R. 1120. εἰσορᾷς πόλιν τέ μοι ξυνοῦσαν εὔνουν C. 772. τὰς κόρας γὰρ εἰσορῶ C. 1097. τοίγαρ σ' ὁ δαίμων εἰσορᾷ μὲν οὔ τί πω ὡς αὐτικα C. 1370. θεοὶ γὰρ εὖ μὲν, ὀψὲ δ' εἰσορῶσι C. 1536. ἢ τοὺς κακοὺς τιμῶντας εἰσορᾷς θεούς; A. 288. πέλας ἤδη τὸν Ἅιδην εἰσορῶσι τοῦ βίου A. 581. ἅσπερ εἰσορᾷς T. 283. ὡς ἕρποντος εἰσορᾷς ἐμοῦ T. 394. εἰσορῶσ' ἐμὲ αὐτοσφαγῆ πίπτοντα Aj. 840. τοῦδε φροντίδ' οὐκ ἔτ' εἰσορῶ E. 611. κλύουσ' ἐναργῶς, ὥσπερ εἰσορᾷς E. 878. οὐκ εἰσορᾷς; E. 997. εἰσορᾶτέ που τὸν ἄνδρ' ἐφ' ἡμῖν; E. 1430. οἶδ' ὁρῶντες εἰσορῶσι τἀμφανῆ I. T. X. 2. ἀλλ' εἰσόρα, μὴ σκῆψιν οὐκ οὖσαν τιθῇς E. 584. δοκῶ γὰρ ἄντρον εἰσορᾶν P. 27. οὐ γὰρ οἶσθά μ' ὅντιν' εἰσορᾷς P. 249. ὅς γ' ἡλίου τόδ' εἰσορᾶν φάος μόνος δέδωκας P. 663. πρέπει γὰρ ὡς τύραννος, εἰσορᾶν E. 664. πότερα γὰρ εἰσορᾶν δοκῶ E. 1361. νεκρὸς τάριχος εἰσορᾶν Αἰγύπτιος Phineus III. μηδέ μου κάρα τὸ δυσπρόσωπον εἰσορῶν ἀτιμάσῃς C. 286. ἃ νῦν δακρύεις εἰσορῶν C. 1358. τοιαῦτα τοίνυν εἰσορῶν Aj. 127. τοὺς Ἀτρείδας εἰσορῶν φυλάξομαι P. 455. σύ μ' ἐλέησον εἰσορῶν P. 501. Τροίας εἰσορῶν ἑδώλια Achæor. Conv. VII. 1. εἴ του φίλων βλέψειεν οἰκετῶν δέμας ἔκλαιεν ἡ δύστηνος εἰσορωμένη T. 911.
Εἰσορμᾶσθαι. σφ' ὁρῶ τὸν Ἡράκλειον θάλαμον εἰσορμωμένην T. 915.
Εἰσορμεῖν. οἰωνοῖς γλυκὺν θήσαυρον, εἰσορμῶσι πρὸς χάριν βορᾶς A. 30.
Εἰσπαίειν. βοῶν γὰρ εἰσέπαισεν Οἰδίπους R. 1252.
Εἰσπέμπειν. μάντιν κακοῦργον εἰσπέμψας R. 705.
Εἰσπίπτειν. εἰσπεσὼν ἔκειρε πολύκερων φόνον Aj. 55.
Εἰσπλεῖν. ὑμέναιον εἰς δόμους ἄνορμον εἰσέπλευσας R. 423.
Εἰσχειρίζειν. ἀρχῆς οὕνεχ', ἣν ἐμοὶ πόλις δωρητὸν, οὐκ αἰτητὸν εἰσεχείρισεν R. 384.
Εἴσω. ἀλλά νιν κομίζετ' εἴσω, δμῶες A. 578. χωροῖς ἂν εἴσω P. 674. εἶσιθ' εἴσω E. 802. χωροῖς ἂν εἴσω ξὺν τάχει E. 1491.
Εἰωθότως. πολλὰ χαίρειν μ' εἶπας, οὐκ εἰωθότως E. 1456.
Ἐκ. ἐκ τίνος διώλετο R. 225. ἃ 'κ τῶνδε δράσω R. 235. τὰ δεύτερ' ἐκ τῶνδε R. 282. διδαχθεὶς ἐκ τῆς τέχνης R. 357. τυφλὸς ἐκ δεδορκότος R. 454. ἐκ σοῦ πάντ' ἄνευ φόβου φέρω R. 590. σκήπτρῳ τυπεὶς ἐκ τῆσδε χειρὸς R. 811. ἐκ θεῶν φανέντ' ἄναγνον R. 1382. πρός σ' ὅ τι σοι φίλον ἐκ σέθεν ἄντομαι C. 250. τὰ δ' ἐκ θεῶν τρέμοντες C. 256. πάθος δείσαντες ἐκ χρηστηρίων C. 504. δεξιώματα ἐν δορὶ διασκεδῶσιν, ἐκ σμικροῦ λόγου C. 620. εἰ γάρ τι πιστόν ἐστιν ἐκ χρηστηρίων C. 1331. ἐκ σέθεν δ' ἀλώμενος βίον ἄλλους ἐπαιτῶ C. 1364. ἐκ θεοῦ καλούμενος C. 1629. τὸ φέρον ἐκ θεοῦ C. 1694. ἀρχόμεσθ' ἐκ κρεισσόνων A. 63. ἐκ τοῦδε χρὴ γυναῖκας εἶναι τάσδε μήτ' ἀνειμένας A. 578. σοφίᾳ γὰρ ἔκ του κλεινὸν ἔπος πέφανται A. 620. πόλεως ἀπιστήσασαν ἐκ πάσης μόνην A. 656. ἐκ Διονύσου πετρώδει κατάφρακτός ἐν δεσμῷ A. 957. ἐκ δὲ θυμάτων Ἥφαιστος οὐκ ἔλαμπεν A. 1007. ταῦτα τῆς σῆς ἐκ φρένος νοσεῖ πόλις A. 1015. ἐκ τυράννων γένος A. 1056. ἐκ σοῦ βιάζονται τάδε A. 1073. ἐξ ὅτου λεύκην ἐγὼ τήνδ' ἐκ μελαίνης ἀμφιβάλλομαι τρίχα A. 1093. τὰν ἐκ πασᾶν τιμᾷς ὑπερτάταν πόλεων A. 1137. τί δ' ἔστιν αὖ κάκιον ἐκ κακῶν ἔτι A. 1281. ἐκ δὲ δασκίου γενειάδος κρουνοὶ διερραίνοντο T. 13. εἰς δόμους τε κἀκ δόμων T. 34. δισσῶν ἐκ Πελειάδων αὐδῆσαι φηγὸν T. 172. ὑπερχλιδῶντες ἐκ γλώσσης κακῆς κεῖνοι μὲν Ἅιδου πάντες εἴσ' οἰκήτορες T. 281. εἴπ' ὦ τάλαιν' ἀλλ' ἡμὶν, ἐκ σαυτῆς T. 320. ἐκ ταχείας T. 395. οὔπω τις αὐτῶν ἔκ γ' ἐμοῦ λόγον κακὸν

ἠνέγκατο T. 461. δύσνιπτον ἐκ δέλτου γραφὴν T. 685. ὡς ἂν ἐκ τριῶν σ' ἓν εἱλόμην T. 736. ἀμφίκλυστον ἐκ πόντου πέτραν T. 782. ἐκ δυοῖν ἔσοιθ' ἅμα πατρός τ' ἐκείνης τ' ὠρφανισμένος βίου T. 943. ἐκ τοιούτων θῆλυς εὕρημαι T. 1077. δείξω γὰρ τάδ' ἐκ καλυμμάτων T. 1080. τὴν δράσασαν τάδε χειρώσομαι κἀκ τῶνδε T. 1111. πρόφαντον ἐκ πατρὸς T. 1161. λείας κατηναρισμένας ἐκ χειρὸς Aj. 26. τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφέλοιμί σε; Aj. 537. ἐκ πατρῴας ἥκων γενεᾶς ἄριστος Aj. 636. ἐκ δορὸς γεγῶτα πολεμίου Aj. 1013. εἰ πανταχοῦ φανούμεθ' ἐκ Τεύκρου κακοὶ Aj. 1241. ἐκ τῆς βαρβάρου μητρὸς γεγὼς Aj. 1289. ἐκ τέχνης πράσσειν κακῆς P. 88. ἐκ πολλοῦ σάλου εὕδοντα P. 271. τοξευτὸς, ὡς λέγουσιν, ἐκ Φοίβου δαμεὶς P. 335. τὰν ἐκ θεῶν νέμεσιν ἐκφυγὼν P. 518. ἐκ βίας μ' ἄξοντες P. 563. ὅταν πνεῦμα τοὐκ πρώρας ἀνῇ P. 639. τί δῆτα δρῷμ' ἂν ἐκ τούτων ἐγὼ; P. 895. τὰς μὲν ἐκ θεῶν τύχας δοθείσας P. 1316. νοσεῖς τόδ' ἄλγος ἐκ θείας τύχης P. 1326. σε πατρὸς ἐκ φόνων λαβὼν ἔσωσα E. 11. ἐκ τῶνδ' ἄρχομαι, κἀκ τῶνδέ μοι λαβεῖν θ' ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει E. 265. πατέρα τὸν ἐμὸν ἐκ δόλου κατέκτανεν E. 279. ἐκ πατρὸς ταὐτοῦ φύσιν Χρυσόθεμιν ἔκ τε μητρὸς E. 325. οὐδὲν ἐκ σαυτοῦ λέγεις E. 343. ἐκ τοῦδε μηνίσασα Λητῴα κόρη E. 570. θανεῖν αὐτὸν ἐκ σέθεν E. 579. ἔκ τε σοῦ κακοῖς πολλοῖς ξυνοῦσα E. 600. ἡ μὲν ἐκ σοῦ δυσμένεια E. 649. τοὺς ἐκ Διὸς γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν E. 659. ἐκ δ' ὑποστόφης μέτωπα συμπαίουσι E. 725. εὐσέβειαν ἐκ πατρὸς οἴσει E. 966. τὰ μὲν ἐκ δόμων νοσεῖ E. 1070. ἀλλ' οὐκ ἐκ σέθεν ᾤκτείρεθ' οὗτος E. 1412. λεύσσω γὰρ Αἴγισθον ἐκ προδήλου E. 1427. ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνὴρ Inach. I. 2. πόνῳ πόνον ἐκ νυκτὸς ἀλλάσσουσα τὸν καθ' ἡμέραν Niobe VI. 3. οὐ γὰρ ἐκ μιᾶς ἔβλαστον Scyth. VI. 1.

Ἑκάς. αἴδ' οὐχ ἑκὰς C. 1668. κἄστ' οὐχ ἑκάς που P. 41.

Ἕκαστος. εἷς γάρ τις ἦν ἕκαστος οὐξειργασμένος A. 262. ἕκαστος ἐκμαθεῖν θέλων T. 196. παθὼν δ' ἕκαστος ὧν τύχῃ λέγει Phædr. V. 8.

Ἑκαταῖος. τῆς Ἑκαταίας μαγίδος δόρπον Jud. Dearum II.

Ἑκάτη. τῆς εἰνοδίας Ἑκάτης ἔγχος Rhiz. III. 3.

Ἕκατι. ἔργον δ' ἕκατι τοῦδε μηνίσας ἄναξ T. 274. ταύτης ἕκατι T. 353. ἀρετῆς ἕκατι P. 669.

Ἑκατόμποδος. τῶν ἑκατομπόδων Νηρῄδων ἀκόλουθος C. 719.

Ἑκατόν. ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα T. 764.

Ἐκβαίνειν. τινὸς βοὴ πάραυλος ἐξέβη νάπους; Aj. 892. ποῖ ποτ' ἐξέβης λόγῳ; P. 896. ὀδουρὸν οἷος ἐξέβης λαθὼν Aeg. V. καί μ' εὐθὺς ἐν κύκλῳ στρατὸς ἐκβάντα πᾶς ἠσπάζετο P. 357. τοιοῦτον ἐκβέβηκεν T. 674.

Ἐκβάλλειν. φυσιῶν ὀξεῖαν ἐκβάλλει πνοὴν A. 1238. τίν' οὐ παλαίουσ' ἐς τρὶς ἐκβάλλει θεῶν; I. T. XXIII. 13. τότ' ἐξεώθεις κἀξέβαλλες C. 770. ὡς τοὺς τάδ' ἐκπράξαντας ἐκβάλλοιμι γῆς C. 1307. τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι τοιοῦδε; C. 631. τἀγαθὸν χεροῖν ἔχοντες, οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ Aj. 965. λάθρα μ' ὑπελθὼν, ἐκβαλεῖν ἱμείρεται R. 386. ὃν δὴ σὺ πειρᾷς ἐκβαλεῖν R. 399. φίλον ἐσθλὸν ἐκβαλεῖν R. 611. οὐκ ἔστιν αὐτῷ τοῦτό γ' ἐκβαλεῖν πάλιν R. 849. ἤθελον λωβητὸν ἐκβαλεῖν ταφῆς ἄτερ Aj. 1388. ἤθελον τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως Aj. 1392. αὕτη γὰρ ἦν σοί πρόφασις ἐκβαλεῖν ἐμὲ P. 1034. πλούτου παρόντος ἐκβαλεῖν E. 649. κεῖνον ἐκβαλὼν βίᾳ C. 1343. Ἀτρείδας ἐκβαλόντας οἶδά με P. 1389. ἀλλ', ἐκβαλόντες, εἰ πάλιν σώσουσ' ὅρα P. 1390. ἐκβαλοῦσ' ἔχεις τοὺς πρόσθε παῖδας E. 590. οὔποτ' ἐκβαλῶ χάριν τὴν τοῦδε C. 636. κρατήσω τῶν ἔμ' ἐκβεβληκότων C. 646. ὅν γ' εἶχον ἤδη χρόνιον ἐκβεβληκότες P. 600. ξένης ἐπὶ χθονὸς ἐκβεβλημένον C. 1257. ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος Aj. 1064. τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη Aj. 808. μή νύν ποτ', ὦ παῖ, τάς φρένας γ' ὑφ' ἡδόνης, γυναικὸς οὕνεκ', ἐκβάλῃς A. 649.

Ἐκβιάζεσθαι. φίλων χειρῶν ἐκβεβιασμένον P. 1129.

Ἐκβολή. οὔτε του γενῆδος ἦν πλῆγμ' οὐ δικέλλης ἐκβολή A. 249.
Ἔκβρωμα. ὥστε πρίονος ἐκβρώματ' ἂν βλέψειας ἐν τομῇ ξύλου T. 702.
Ἔκγονος. ἔκγονα κλυτᾶς χθονὸς R. 172. ἔπεμψέ μοι τὰ φίλτατ' ἐκγόνοιν ἐμοῖν R. 1474. πότερα τὰ τῶν σῶν ἐκγόνων, ἢ 'μοῦ λέγεις; C. 588. πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο Aj. 842.
Ἐκδεικνύναι. αὐτὸς ἐκδείξας ἐμοὶ C. 1021. τὸ τούτων μῖσος ἐκδείξειας ἂν E. 348.
Ἐκδέχεσθαι. κεῖνον ἐνθάδ' ἐκδέχου P. 123.
Ἐκδημεῖν. θεωρὸς, ὡς ἔφασκεν, ἐκδημῶν R. 114.
Ἐκδιδάσκειν. τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν C. 1539. ἐκδιδάσκει καὶ παραλλάσσει φρένας χρηστὰς πρὸς αἰσχρὰ πράγματα A. 298. μή μ' ἐκδίδασκε, μηδὲ συμβούλευ' ἔτι R. 1370. μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακὴν E. 395. λόγω δέ σε βραχεῖ τοῦτ' ἐκδιδάξω P. 436. σὲ τοῦτ' ἐγὼ πᾶν ἐκδιδάξω P. 604. αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται E. 621. ἵν' ἐκδιδαχθῇ πᾶσιν ἀγγέλλειν T. 1117. ἀλλ' ἐκδιδαχθῶ δῆτα δυσσεβεῖν, πάτερ T. 1247. ὑφ' ἡμῶν ἐκδιδαχθεὶς R. 38. ὄψ' ἐκδιδαχθεὶς τῶν κατ' οἶκον T. 936.
Ἐκδιδόναι. ποιμὴν ἄλλος ἐκδίδωσί μοι R. 1040.
Ἔκδικος. οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν, οὔτ' ἄν σ' ἐπαινέσειαν εἰ πυθοίατο C. 920.
Ἐκδίκως. μὴ πλείω κάκα πάθοιεν ἢ καὶ δρῶσιν ἐκδίκως A. 928.
Ἐκδύνειν. μητρὸς ἐξέδυ Colch. IV. 3.
Ἐκεῖ. ὡς ηὔδᾶτ' ἐκεῖ R. 940. ὁδοῦ κατάρχειν τῆς ἐκεῖ C. 1019. ἐκεῖ τὸν Ἅιδην αἰτουμένη που τεύξεται τοῦ μὴ θανεῖν A. 777. τὰς ἐκεῖ μὲν οὐκ ἔχω λέγειν πάθας Aj. 295. κἀκεῖ κἀνθάδ' ὢν Aj. 1372. τοῖσδε γὰρ μόνοις ἐκεῖ ζῆν ἐστι I. T. LVIII. 14.
Ἐκεῖθεν. τοὐκεῖθεν ἄλσους C. 505. γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις T. 315.
Ἐκεῖνος. ἄρχεις δ' ἐκείνη ταὐτὰ R. 579. ὅδ' ἐκεῖνος ἐγὼ C. 138. τῶν ἐκεῖνος αἴων, θάρσει, παρέσται C. 304. καὶ πῶς γένοιτ' ἂν τἄμα κἀκείνων πικρά; C. 606. ἥδ' ἔστ' ἐκείνη τοὔργον ἡ 'ξειργασμένη A. 384. εἰ ζῶντ' ἐκεῖνον εἰσιδεῖν θέλοι ποτὲ Aj. 755. κεῖνός τ' ἐκεῖνα στεργέτω, κἀγὼ τάδε Aj. 1039. οὔτ' ἂν σὺ κείνων χωρὶς, οὔτ' ἐκεῖνα σοῦ P. 115. ἐκεῖνο δ' οὐδεὶς, ἡνίκ' ἂν μνησθῶ, θέλει P. 310. ἐσθήματα φοροῦντ' ἐκείνῳ ταὐτὰ E. 267.
Ἐκεῖσε. ἐγὼ γὰρ εἶμ' ἐκεῖσ', ὅποι πορευτέον Aj. 690. ἐκεῖσε νῦν μ', ἐκεῖσε P. 814.
Ἑκηβόλος. Φοῖβον ἑκαβόλον R. 162. ἑκηβόλος θεὰ Mel. I. 2.
Ἕκηλος. ἕκηλος αὐτοῦ μίμνε C. 1039. οὔτε θυμάτων παρῆν ἑκήλοις προσθιγεῖν P. 9. ἕκηλον εὕδειν P. 769. ἐάσωμεν ἕκηλον αὐτὸν P. 826. νῦν δ' ἕκηλά που, τῶν τῆσδ' ἀπειλῶν οὕνεχ', ἡμερεύσομεν E. 786. ταῦτ' ἐφορῶντες κρύπτουσιν ἕκηλοι E. 825. εἵρπεν ἕκηλος Aloadæ XII. 4.
Ἐκθεᾶσθαι. οὐκ ἦν τὸ κείνης ἐκθεάσασθαι κακὸν R. 1253.
Ἐκθερμαίνεσθαι. ἐκτεθέρμανται πόθῳ T. 368.
Ἐκθνήσκειν. ἐκθνήσκων δ' ὁ θὴρ τοσοῦτον εἶπε T. 567.
Ἐκθόρειν. ἄφορμος ἐμᾶς χθονὸς ἔκθορε C. 234.
Ἐκθύειν. ὡς πατὴρ ἀντίσταθμον τοῦ θηρὸς ἐκθύσειε τὴν αὑτοῦ κόρην E. 572.
Ἐκθώπειν. ἔπεισας, ἐξέθωψας I. T. LXIX.
Ἐκκαλεῖν. ἐκκαλοῦσί με R. 597. οἷά μ' ἐκκαλεῖ, πάτερ T. 1208. τί μ' ἐκκαλεῖσθε P. 1264.
Ἐκκαλύπτειν. ἴθ', ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακὸν Aj. 1003. πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς τὸ φῶς ἄγει I. T. V.
Ἔκκαυμα. τὰ ξύλ' εἰς ἐκκαύματα Herc. II. 1.
Ἐκκεῖσθαι. μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς A. 1011.
Ἐκκείρειν. Σκυθιστὶ χειρόμακτρον ἐκκεκαρμένον Oenom. II.
Ἐκκηρύσσειν. ἀστοῖσί φασιν ἐκκεκηρύχθαι A. 27. τοῦτον πόλει τῇδ' ἐκκεκηρύχθαι τάφῳ μήτε κτερίζειν A. 203.
Ἐκκινεῖν. σὺ γάρ μ' ἀπευνασθέντας ἐκκινεῖς κακοῦ T. 1243. οὐ μὴ 'ξεγερεῖς τὸν ὕπνῳ κάτοχον κἀκκινήσεις T. 981. ἐξεκίνησας τόδε τὸ ῥῆμα T. 354. ἐξε-

κίνησεν ποδοῖν στικτὸν κεράστην ἔλαφον E. 567.
Ἐκκλέπτειν. τὴν Φιλοκτήτου σε δεῖ ψυχὴν ὅπως λόγοισιν ἐκκλέψῃς P. 55. μή μ' ἐκκλέψῃς λόγον T. 437. μὴ παρῇς σαυτοῦ βροτοῖς ὄνειδος ἐκκλέψας ἐμὲ P. 968.
Ἐκκομπάζειν. οὗ κατὰ σφαγὰς ἐκκομπάσας E. 569.
Ἐκκρίνειν. ἀρετῇ τε πρῶτος ἐκκριθεὶς P. 1425.
Ἔκκριτος. ἔκκριτον δώρημα Aj. 1202.
Ἐκκυλίνδεσθαι. ὕπτιος μέσης ἀπήνης εὐθὺς ἐκκυλίνδεται R. 812.
Ἐκλαγχάνειν. τὸν αὐτὸν δαίμον' ἐξειληχότες C. 1328. πατρῴας τύμβον ἐκλαχεῖν χθονὸς E. 760.
Ἐκλαμβάνειν. ἀριστεῖ' ἐκλαβὼν στρατεύματος P. 1429.
Ἐκλάμπειν. δίκης γὰρ ἐξέλαμψε νῦν ὅσιον φάος Ajax Locr. I. 2.
Ἐκλανθάνεσθαι. ἐπαινῶν πολλὰ, τοῦδ' ἐκλανθάνει C. 1005.
Ἐκλείπειν. ὥστε μὴ 'κλιπεῖν κλέος E. 985. ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον E. 1131. ἐκλιπὼν τὸ ναυτικὸν στράτευμα P. 58. σοὶ δ', ἐκλιπόντι τοῦτ' ὄνειδος οὐ καλὸν P. 477. προδούς μ' ἔοικε κἀκλιπὼν τὸν πλοῦν στελεῖν P. 911. μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη E. 19. ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ E. 1149.
Ἐκλήγειν. οὔποτ' ἐκλήξω χαρᾶς δακρυῤῥοοῦσα E. 1312.
Ἔκλυσις. ἔκλυσιν μόνην ἂν ἐλθεῖν τοῦδε τοῦ νοσήματος R. 306.
Ἐκλυτήριος. ηὗδας τι τοῖσδ' ἀστοῖσιν ἐκλυτήριον R. 392.
Ἐκλύειν. δῆλος δέ μοιστὶ σκαιὸν ἐκλύσων στόμα Aj. 1225. ἐξέλυσας σκληρᾶς ἀοιδοῦ δασμὸν R. 35. Ἄρης οἰστρηθεὶς ἐξέλυσ' ἐπίπονον ἁμέραν T. 656. εἰς ἀγῶνα τῷδε συμπεσὼν μάχης ἐκλύεταί με T. 21. αὐτός τ' ἔδησα καὶ παρὼν ἐκλύσομαι A. 1112. φόβον σ' ἐξελυσάμην R. 1003. φόβοισί γ' αὐτόν ἐξελυσάμην Aj. 530.
Ἐκλωβᾶσθαι. ὑπ' αὐτῶν ἐξελωβήθην μολὼν P. 330.
Ἐκμαίνειν. ἐξέπεισέ νιν τοιῷδε φίλτρῳ τὸν σὸν ἐκμῆναι πόθον T. 1144.
Ἐκμανθάνειν. ἃ 'γὼ πανώλης ὄψ' ἄγαν ἐκμανθάνω C. 1264. ἐκμάνθανε R. 576. ὡς δ' ἔστ' ἐμοὶ μέν οὐχὶ, σοὶ δ', ὁμιλία πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε P. 71. ἔκμαθ' εἰ σαφῆ λέγω E. 1223. παρ' οὗ σκοπῶν τάδ' ἐκμάθοις σαφέστατα R. 283. μηδ' ἐκμάθοις παθοῦσα T. 143. κακὰς δὲ τόλμας μήτ' ἐπισταίμην ἐγὼ μήτ' ἐκμάθοιμι T. 583. ἕως δ' ἂν οὖν πρὸς τοῦ παρόντος ἐκμάθῃς, ἔχ' ἐλπίδα R. 835. ἕως ἂν ἐκμάθω τίνας λόγους ἐροῦσι C. 115. ἵν' ἐκμάθῃς οἵων ὑπ' ἀνδρῶν ἥδε φρουρεῖται πόλις C. 1012. ἵν' ἐκμάθῃς ἃ δεῖ T. 337. οὐκ ἂν πιθοίμην μὴ οὐ τάδ' ἐκμαθεῖν σαφῶς R. 1065. ἔχρῃζον ἐκμαθεῖν τί πρακτεόν R. 1439. ἄμεινον ἐκμαθεῖν τί δραστέον R. 1443. ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν ψυχὴν A. 175. αἰῶν' ἐκμαθεῖν βροτῶν T. 2. τὸ ποθοῦν ἕκαστος ἐκμαθεῖν θέλων οὐκ ἂν μεθεῖτο T. 196. ὅτου τις ἐκμαθὼν ἐχρήσατ' ἂν R. 117.
Ἐκμάσσειν. κηλῖδας ἐξέμαξεν E. 446.
Ἐκμετρεῖσθαι. ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα R. 795.
Ἔκμετρος. ἔκμετρον ὄλβον Creusa III. 2.
Ἐκνέμεσθαι. οὐκ ἄψοῤῥον ἐκνεμεῖ πόδα Aj. 369.
Ἑκούσιος. ἑκούσιον λαβὼν P. 617. ἥμαρτεν οὐχ ἑκουσίᾳ T. 1125. ἑκουσίαισιν ἔγκεινται βλάβαις P. 1318. ἐξ ἑκουσίας σφαλεὶς T. 729.
Ἔκπαγλος. εὐήρετμος ἔκπαγλ' ἁλία χερσὶ παραπτομένα πλάτα C. 716. ὦ δείπνων ἀῤῥήτων ἔκπαγλ' ἄχθη E. 204.
Ἐκπείθειν. ἡ πρὶν ἐξέπεισ' ἀπαιδία R. 1024. ἐξέπεισέ νιν Νέσσος T. 1143.
Ἐκπέλει. οὐ γὰρ ἐκπέλει φρονεῖν μέγ' ὅστις δοῦλός ἐστι τῶν πέλας A. 478.
Ἐκπέμπειν. αὖθις ἐκπέμψω πάλιν τὸν αὐτὸν ἄνδρα P. 127. καί με Φοῖβος ὧν μὲν ἱκόμην ἄτιμον ἐξέπεμψε R. 789. πρατόν νιν ἐξέπεμψε T. 276. δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψα E. 1138. πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι E. 1132. καί σ' ἐκτὸς αὐλείων πυλῶν τοῦδ' οὕνεκ' ἐξέπεμπον A. 19. ὥς σ' ἀπ' ἐλπίδων οὐχ ὧνπερ ἐξέπεμπον εἰσεδεξάμην E. 1128. οὐδὲ σὺν νόσοις ἀλγεινὸς ἐξεπέμπετο C. 1664. τί μ' ἐξεπέμψω R. 951. ὃν ἐξεπέμψω πρὶν ποτε θουρίῳ κρατοῦντ' ἐν Ἄρει Aj. 613. ἐκπέμψαι πάλιν τὸν ἄνδρα C. 1346. εἰ γῆς φυγάδας ἐκπεμψαίμεθα R. 309.

Ἐκπηδᾶν. ὥσθ' ἡδέως εὕδουσαν ἐκπηδᾶν ἐμὲ φόβῳ T. 175.

Ἐκπίνειν. λήθουσά μ' ἐξέπινες A. 532. ἐκπίνουσ' ἀεὶ ψυχῆς ἄκρατον αἷμα E. 785. ἐκ δὲ χλωρὸν αἷμά μου πέπωκεν T. 1058. ἐκπιὼν τι χρύσεον κέρας Pandora I. 1.

Ἐκπίπτειν. κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονὸς Aj. 1177. ἦν μοι τέρψις ἐκπεσεῖν χθονὸς C. 766. κρεῖσσον γὰρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς ἐκπεσεῖν A. 679. ἐκπεπτωκότα δίφρων E. 749.

Ἐκπλεῖν. ὅσον τάχος ἔκπλει P. 577. ἄλλοισι δοὺς οἷς εἰκὸς, ἔκπλει P. 973. ἐκπλεῖν χθονὸς P. 1375. οὐκ αὐτὸς ἐξέπλευσε; Aj. 1099. οὐ μή ποτ' ἐς τὴν Σκῦρον ἐκπλεύσῃς ἔχων P. 381.

Ἐκπλήθειν. ἐνιαυτὸν ἐξέπλησε T. 253. πλάνοις ἴσως ὡς ἐξεπλήσθη P. 758.

Ἐκπληροῦν. δέκατον ἐκπληρῶν ὄχον E. 708.

Ἐκπλήσσεσθαι. τὰ μὲν σημαίνομαι τὰ δ' ἐκπέπληγμαι Aj. 33. ἐκπεπληγμένον κεῖνον βλέποντες R. 923. οὐδὲν ἐκπεπληγμένη A. 433. ἐκπεπληγμένη φόβῳ T. 24. λόγοις τοῖς νῦν παροῦσιν ἐκπεπληγμένη κυρῶ T. 386. μή μ' ὄκνῳ δείσαντες ἐκπλαγῆτε P. 226. ὥστ' ἐκπλαγῆναι τοὐμὸν ἡδονῇ κέαρ T. 629. ποιήσω γ', οὐδὲν ἐκπλαγεῖσά σε E. 1045.

Ἐκπνεῖν. ἐκπνεοῦσι πνευμάτων ἄπο Colch. V. 2. ὑφ' οὗ φονέως ἄρ' ἐξέπνευσας Aj. 1025. σμικροῦ νέφους τάχ' ἄν τις ἐκπνεύσας μέγας χειμὼν Aj. 1148.

Ἐκποδών. ἄγετέ μ' ἐκποδὼν A. 1324. ἄγοιτ' ἂν μάταιον ἄνδρ' ἐκποδὼν A. 1339. ἐκποδὼν μὲν ὢν ὑπεστέναζον Aj. 1000. φίλου κακῶς πράξαντος ἐκποδὼν φίλοι I. T. XCII.

Ἐκπορθεῖν. τυφλῆς ὑπ' ἄτης ἐκπεπόρθημαι τάλας T. 1106.

Ἐκπορίζειν. στέγη πυρὸς μέτα πάντ' ἐκπορίζει P. 299.

Ἐκπράττειν. τοὔργον τόδ' ἐξέπραξα C. 941. χρόνῳ ποτ' ἐξέπραξαν ὡς δοῦναι δίκην A. 303. κἂν ἐξέπραξεν εἰ κατημέλησ' ἐγὼ Aj. 45. ᾧ τάδ' ἐκπρᾶξαι μέλει R. 377. τοὺς τάδ' ἐκπράξαντας C. 1307. φανήσομαι τάχα κακὸν μέγ' ἐκπράξασ' ἀπ' ἐλπίδος καλῆς T. 669.

Ἐκπροτιμᾶν. τοιῷδέ σ' ἐκπροτιμήσασ' ἐγὼ νόμῳ A. 913.

Ἐκπυνθάνεσθαι. τίν' ἂν σοῦ πατρίδ' ἐκπυθοίμαν; C. 206. θανάτῳ γὰρ ἴσον πάθος ἐκπεύσει Aj. 215.

Ἔκπωμα. αὐτόξυλόν γ' ἔκπωμα P. 35. ἐκπώματα πανάργυρα Acris. IV. 4.

Ἐκραίνειν. κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει T. 783.

Ἐκρηγνύναι. καθ' ἡμᾶς οὔποτ' ἐκρήξει μάχῃ Aj. 775.

Ἐκρίπτειν. θαλάσσιόν μ' ἐκρίψατε R. 1412. πρόρριζος ἐκριφθεὶς E. 512.

Ἐκσημαίνειν. πόθεν τοῦτ' ἐξεσήμηνας κακὸν E. 1191.

Ἐκστέλλειν. περόνας αἷσιν ἐξεστέλλετο R. 1216.

Ἐκστέφειν. κλάδοισιν ἐξεστεμμένοι R. 3. φῦλον ἐξεστεμμένον R. 19.

Ἐκσώζειν. νῦν αἵδε μ' ἐκσώζουσιν C. 1367. θεὸς γὰρ ἐκσώζει με Aj. 1128. πόλιν τήνδ' ἐξέσωσα R. 443. σὺ γάρ νιν ἐξέσωσας C. 1123. ἐξέσωσα κἀξεθρεψάμην E. 13. πατρῷον οἶκον ἐξεσωσάτην E. 978. πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ' ἄγων P. 488. αὐτόστολον πέμψαντά μ' ἐκσῶσαι δόμους P. 496. ὅσα δένδρων ὑπείκει κλῶνας ὡς ἐκσώζεται A. 713. ὅσπερ ἵκετ' ἐκσωθεὶς μόνος R. 756.

Ἐκτείνειν. μείζον ἐκτενῶ λόγον T. 681. ἐκτέταμαι φοβερὰν φρένα R. 153. ἀνὴρ δ' ἀνόμματος ἐκτέταται νύχιος P. 858.

Ἐκτελεῖν. ἦ μὴν ἐμοὶ τὸ λεχθὲν ἔργον ἐκτελεῖν T. 1189.

Ἐκτελευτᾶσθαι. εἱμαρμένα τῶν Ἡρακλείων ἐκτελευτᾶσθαι πόνων T. 170.

Ἐκτέμνειν. ἐκτεμόνθ' ὁμοῦ ἄγριον ἔλαιον T. 1198. σκαλμῇ γὰρ ὄρχεις βασιλὶς ἐκτεμοῦσ' ἐμοὺς Troil. II.

Ἐκτίειν. ὅσην κατ' αὐτῶν ὕβριν ἐκτίσαιτ' ἰὼν Aj. 304.

Ἐκτιθέναι. λέβητας ἐκτιθεὶς φέρειν Acris. XI. 2. ἔνθα Μηλιᾶ Ποίαντος υἱὸν ἐξέθηκ' ἐγώ ποτε P. 5.

Ἐκτιμᾶν. ἐκτετίμηνται πλέον E. 64.

Ἔκτιμος. γόων ἐκτίμους ἴσχουσα πτέρυγας E. 242.

Ἐκτίνειν. πατρῷον ἐκτίνεις τιν' ἆθλον A. 856. ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν ψυχὴν τάδ' ἐκτίνουσαν C. 499.

Ἐκτόπιος. ἐκτοπίαν φλόγα R. 166. ἀπάγετ' ἐκτόπιον ὅτι τάχιστά με R. 1340. ποῦ κυρεῖ ἐκτόπιος συθείς; C. 119.

Ἔκτοπος. τῶνδ' ἑδράνων πάλιν ἔκτοπος ἔκθορε C. 233. ἄρουραν ἔκτοπον T. 32. αὐτὴ πρὸς αὑτῆς, οὐδενὸς πρὸς ἐκτόπου T. 1134.

Ἕκτος. ἕκτος δε Παρθενοπαῖος C. 1320. ἕκτος ἐξ Αἰτωλίας E. 704. τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον C. 726.

Ἐκτὸς. οὐκοῦν μ' ἐάσεις κἀκτὸς εἶ; R. 676. ἐκτὸς αὐλείων πυλῶν A. 18. ἐκτὸς ἐλπίδος A. 330. ἡ 'κτὸς καὶ παρ' ἐλπίδας χαρὰ A. 392. ἐκτὸς ἄτας A. 614. αἵ τ' εἴσω στέγης αἵ τ' ἐκτὸς αὐλῆς T. 203. ἔρριψεν ἐκτὸς αὐτὸν T. 269. εἰ δ' ἐκτὸς ἔλθοις, πημονὰς εὔχου λαβεῖν T. 1192. ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν Aj. 88. οὐκ ἐκτός; Aj. 369. ἐκτὸς ὁμιλεῖ Aj. 640. ἐκτὸς ὄντα πημάτων P. 504. ἐκτὸς κλαυμάτων ἔχεις πόδα P. 1260. χθονὸς τῆσδ' ἐκτὸς E. 382. ἐκτὸς οἴκων κἀπὶ γῆς ἄλλης E. 1136. σὺ δ' ἐκτὸς ἦξας πρὸς τί; E. 1402. ἐκτός εἰσι τῶν κακῶν Phryg. I. 3.

Ἔκτοσθεν. τήνδε τ' ἔκτοσθεν βοᾶν ἔα E. 802.

Ἐκτρέπειν. πρὸς ποίμνας ἐκτρέπω νιν Aj. 53. οὔτε ξυνέρδεις, τήν τε δρῶσαν ἐκτρέπεις E. 349. τὸν ἐκτρέποντα τὸν τροχηλάτην παίω R. 806. εἰ δ' οὖν τι κἀκτρέποιτο τοῦ πρόσθεν λόγου R. 851.

Ἐκτρέφειν. φροντὶς ἐκτρέπει τὸν εὐαιῶνα πλοῦτον I. T. LVIII. 11. ὁ σκληρὸς οὗτος, καὶ γίγαντας ἐκτρέφων Aeg. I. 6. ὃς ἐξέφυσε κἀξέθρεψέ με R. 827. οἷον ἆρά με κάλλος κακῶν ὕπουλον ἐξεθρέψατε R. 1396. ἐξέσωσα κἀξεθρεψάμην E. 13.

Ἐκτρέχειν. ἐμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων C. 439.

Ἐκτρίβειν. ἐκτρῖψαι βίον R. 248. κάκιον ὅστις ἐκτριβήσεται R. 428. ἐν πέτροισι πέτρον ἐκτρίβων P. 296.

Ἕκτωρ. Ἕκτορος δώρημα Aj. 662. δῶρον μὲν ἀνδρὸς Ἕκτορος Aj. 817. ἔμελλέ σ' Ἕκτωρ, καὶ θανὼν, ἀποφθίσειν Aj. 1027. πηδῶντος Ἕκτορος τάφρων ὕπερ Aj. 1279. Ἕκτορος μόνος μόνου ἦλθ' ἐναντίος Aj. 1283.

Ἐκφαίνειν. εἰ μὴ τὸν αὐτόχειρα τοῦδε τοῦ τάφου εὑρόντες ἐκφανεῖτε A. 307. τὸ κρυφθὲν ἐκφανεῖς ἀνάκτορον I. T. XXXVIII. 4. μαντεῖον ἐξέφηνεν ἀρτίως ἐμοὶ R. 243. μὴ τὰ σὰ 'κφήνω κακὰ R. 329. σημεῖα δ' οὔτε θηρὸς ἐξεφαίνετο A. 258. ἐκφανεῖ κακὴ R. 1063. δίκαιοι δ' αὖθις ἐκφανούμεθα P. 82.

Ἐκφέρειν· εὖ δέ σ' ἐκφέρει κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις Aj. 7. ἔκφερ' αὐτὸ P. 651. ὅποτε τελεόμηνος ἐκφέροι δωδέκατος ἄροτος T. 826. τίν' ἐξήνεγκας, ὦ τέκνον, λόγον; T. 743. ὁρᾷς τὰ τοῦδ' οὖν ὡς ἐς ὀρθὸν ἐκφέρει μαντεύματα C. 1424. μέγα τι σθένος ἁ Κύπρις ἐκφέρεται νίκας ἀεὶ T. 497. πρὸς ὀργὴν ἐκφέρει E. 628. σωθῶ, κἀξενέγκωμαι κλέος E. 59.

Ἐκφεύγειν. ἐκφεύγει δε τἀμελούμενον R. 1111. ὅπως ἀφ' ὑμῶν ὡς προσώτατ' ἐκφυγῶ E. 391. οὐκ ἁλίκτυποι κελαιναὶ νᾶες ἐκφύγοιεν A. 954. οὐδεὶς βροτῶν ἄν, εἰ θεὸς ἄγοι, ἐκφυγεῖν δύναιτο C. 253. ἔγωγ' ἂν ἐκπεφεύγοιην πάθος R. 840. κεῖνοι δ' ἐπεγγελῶσιν ἐκπεφευγότες Aj. 454.

Ἐκφοβεῖν. ποίας δὲ καὶ γυναικὸς ἐκφοβεῖσθ' ὕπερ; R. 989. ὧν οὕνεκ' ἐκφοβεῖ με C. 269. μηκέτ' ἐκφοβοῦ μητρῷον ὥς σε λῆμ' ἀτιμάσει ποτὲ E. 1426.

Ἐκφορτίζειν. ἐξημπόλημαι κἀκπεφόρτισμαι πάλαι A. 1036.

Ἐκφυλάσσειν. ῥύου με κἀκφύλασσε C. 285.

Ἐκφύειν. τίς δ' ἔμ' ἐκφύει βροτῶν; R. 437. ὧνπερ αὐτὸς ἐξέφυ R. 1499. ἐλευθέρου μὲν ἐξέφυν πατρὸς Aj. 487. αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης Aj. 1295. ὥσπερ ἐξέφυς, ἐλευθέρα καλεῖ E. 970. τοιόσδε δ' ἐκφὺς R. 1084. ὅς μ' ἐξέφυσε κἀξέθρεψε R. 827. παῖδας ἐξέφυσέ μοι C. 984. εἰ δ' ἐξέφυσα τάσδε μὴ 'μαυτῷ τροφοὺς C. 1365. ἡμᾶς μὲν ὡς δούλους σαφῶς πατὴρ ἄρ' ἐξέφυσε P. 996. οὐκφύσας ἐμὲ P. 89. κοινῶν τε παίδων κοίν' ἂν ἐκπεφυκότ' ἦν R. 262. οἴμ' ὡς λάλημα δῆλον ἐκπεφυκὸς εἶ A. 320.

Ἐκχρήζειν. τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακὰ C. 87.

Ἑκών. κακὰ ἑκόντα κοὐκ ἄκοντα R. 1230. εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις εἶναι βίᾳ τε κουχ' ἑκὼν C. 935. σὲ μὲν ἑκόντ' ἐμὲ κείνην τε ταῦτα δυστομεῖν C. 985. μήτε προδώσειν τασδ' ἑκὼν C. 1634. πάρειμι δ' ἄκων

οὐχ ἑκοῦσι A. 276. σέ τ' οὐχ ἑκὼν ἔκτανον A. 1340. ἐκεῖνος οὐχ ἑκὼν, ἑκοῦσι δὲ ξύνεστιν T. 198. γῆν πατρῴαν οὐχ ἑκοῦσα δύσμορος ἔπερσε T. 465. ἐμοῦ μὲν οὐχ ἑκόντος Aj. 455. ταύτῃ πελάζει ναυβάτης οὐδεὶς ἑκὼν P. 301. πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν αἱρεῖ πονηρὸν P. 436. ἑκόντα μηδ' ἄκοντα P. 770. ἢν μὴ 'ρπῃς ἑκὼν P. 985. ἑκόντα πλεύσαντα P. 1026. σοί γ' ἑκὼν ἐκστήσομαι P. 1053. φίλα ταῦτα παρήγγειλας ἑκόντι τε πράσσειν P. 1179. τὰ Τροίας πεδί' ἑκὼν αὐτὸς μόλῃς P. 1332. ἢ δίδωσ' ἑκὼν κτείνειν ἑαυτὸν P. 1341. ἑκόντα τὴν Τροίαν ἰδεῖν P. 1392. ἄκων ἀκούειν ἅπερ ἑκὼν εἴπῃς κακῶς I. T. XIV. 4.

Ἐλαία. βρύων ἐλαίας χῶρος C. 17. κλῶνας ἐξ ἀμφοῖν χεροῖν τιθεὶς ἐλαίας C. 484. φύλλον ἐλαίας C. 701. ἐνῆν λῖπός τ' ἐλαίας Polyid. IV. 4.

Ἔλαιον. ἐκτεμὼν ὁμοῦ ἄγριον ἔλαιον T. 1199.

Ἐλάσσων. οὐκ ἐλάσσονα ἔπαινον οἴσει C. 1412. οὔτε μείζον', οὔτ' ἐλάσσονα γλῶσσαν T. 324. οὐκ ἐλάσσονι σθένει Aj. 438. καί σ' ἔγωγε δεσπότιν ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω E. 598. σθένεις τ' ἔλασσον τῶν ἐναντίων E. 998.

Ἐλαύνειν. ἐν δ' ὁ πυρφόρος θεὸς σκήψας, ἐλαύνει T. 28. ἐκ τῶνδέ μ' ἐξάραντες, εἴτ' ἐλαύνετε C. 264. ἐλπίδων γὰρ ἔς τίν' ἡμᾶς δαίμων ταννῦν γ' ἐλαύνει; C. 1749. κάξ ὁδοῦ μ' ὅ θ' ἡγεμὼν αὐτός θ' ὁ πρέσβυς πρὸς βίαν μ' ἠλαυνέτην R. 805. καὶ τάμ' εἰς ἔπαυλ' ἐγὼ ἤλαυνον R. 1139. πόλις βίᾳ ἤλαυνέ μ' ἐκ γῆς C. 441. ἤλαυνεν ἔσχατος μὲν E. 734. ἐξισώσαντε ζύγ' ἠλαυνέτην E. 739. κατὰ ῥάχιν ἤλαυνε παίων Aeg. III. 2. ἐλᾷ ποτ' ἐκ γῆς τῆσδε δεινόπους ἀρὰ R. 318. ἀνὴρ ὅδ' ἐς τριβὰς ἐλᾷ R. 1160. κάμὲ μὲν δαίμων ἐλᾷ Aj. 504. ἐλᾷ γὰρ αὐτὸν τῇδε θἠμέρᾳ μόνῃ δίας Ἀθάνας μῆνις Aj. 756. οἵας οἷος ὢν συμφορᾶς ἐλαύνεται T. 1047. κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κάκῃ Aj. 275.

Ἐλαφηβολία. ψευσθεῖσα δώροις εἴτ' ἐλαφηβολίαις Aj. 178.

Ἐλαφηβόλος. Ἄρτεμιν Ὀρτυγίαν ἐλαφηβόλον T. 214.

Ἔλαφος. πυκνοστίκτων ὀπαδὸν ὠκυπόδων ἐλάφων C. 1093. ἐξεκίνησεν ποδοῖν στικτὸν κεράστην ἔλαφον E. 568. νομὰς δέ τις κεροῦσσ' ἀπ' ὀρθίων πάγων καθεῖρπεν ἔλαφος Aloadæ XII. 2.

Ἐλαφρός. ἐλαφρὸς ἐν δισκήματι Acris. XII. 2.

Ἐλέγχειν. τί ταῦτ' ἄλλως ἐλέγχεις; R. 333. τὸ σὸν πάθημ' ἐλέγχω P. 338. μή μ' ἔλεγχε πλείοσιν λόγοις E. 1353. φύλαξ ἐλέγχων φύλακα A. 260. ἰὼν πέλας μητρὸς πατρός τ' ἤλεγχον R. 783. τάς τε πρόσθεν, τάς τε νῦν, ἠλέγχομεν πράξεις A. 434.

Ἔλεγχος. καὶ τῶνδ' ἔλεγχον, τοῦτο μὲν, Πυθώδ' ἰὼν πεύθου R. 603. οὔτ' εἰς ἔλεγχον χειρὸς οὔτ' ἔργου μολὼν C. 1297. εἰς ἔλεγχον ἐξιὼν P. 98.

Ἐλεεῖν. λόγοις ἐλεοῦσι μὲν P. 307. σύ μ' ἐλέησον P. 501.

Ἐλεεινός. ὄμμα νύμφας ἐλεεινὸν T. 528.

Ἐλεινός. τὸ γὰρ σὸν οὐ τὸ τοῦδ' ἐποικτείρω στόμα ἐλεινὸν R. 672. ἦ που ἐλεινὸν ὁρᾷς; P. 1130.

Ἐλεινῶς. τάμὰ πήματα τλῆναί σ' ἐλεινῶς P. 870.

Ἐλελίζειν. ὁ Θήβας δ' ἐλελίζων Βακχεῖος ἄρχοι A. 153.

Ἕλενος. ὄνομα δ' ὠνομάζετο Ἕλενος P. 606. Ἕλενος ἀριστόμαντις P. 1338.

Ἐλευθερία. ὦ σπέρμ' Ἀτρέως, ὡς πολλὰ παθὼν δι' ἐλευθερίας μόλις ἐξῆλθες E. 1509.

Ἐλεύθερος. ἐγὼ δ' ἐλεύθερος δίκαιος εἰμι τοῦδ' ἀπηλλάχθαι κακοῦ A. 399. ἔξω βαρείας αἰτίας ἐλεύθερον A. 445. τοὺς ἐλευθέρους φρενοῦν γνώμαισι δούλαις T. 52. ἥδε γὰρ γυνὴ δούλη μὲν, εἴρηκεν δ' ἐλεύθερον λόγον T. 63. κατείχετ' οὐκ ἐλεύθερος T. 249. δοῦλος ἀνδρὸς ὡς ἐλευθέρου ῥαίοιτο T. 267. ἐξ ἐλευθέρων ἀνδρῶν T. 301. ἐλευθέρῳ, ψευδεῖ καλεῖσθαι, κὴρ πρόσεστιν οὐ καλὴ T. 453. ἐλευθέρου μὲν ἐξέφυν πατρὸς Aj. 487. δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανεὶς Aj. 1020. ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον Aj. 1260. ἡμᾶς μὲν ὡς δούλους πατὴρ ἄρ' ἐξέφυσεν, οὐκ ἐλευθέρους P. 996. ὦ μηδὲν ὑγιὲς, μηδ' ἐλεύθερον φρονῶν P. 1006. ἐλευθέραν με δεῖ ζῆν E. 339. ἐλευθέρα καλεῖ τὸ λοι-

πὸν E. 970. ἐλεύθερον στόμα E. 1256. νοῦς ἐλεύθερος I. T. XXII. κείνου 'στι δοῦλος, κἂν ἐλεύθερος μόλῃ I. T. LIV. 2.

'Ελευθεροστομεῖν. θαρσῶν ὑβρίζεις κἀξελευθεροστομεῖς Aj. 1258.

'Ελευθεροῦν. τό γ' εἰς ἑαυτόν, πᾶν ἐλευθεροῖ στόμα R. 706.

'Ελευθέρως. γελᾶν ἐλευθέρως E. 1300. ἐλευθέρως λέγειν Eriph. II. 1.

'Ελευσίνιος. 'Ελευσινίας Δηοῦς ἐν κόλποις A. 1120.

'Ελικτός. δράκων ἑλικτὸς T. 12.

'Ελικωνίς. Νυμφᾶν 'Ελικωνίδων R. 1108.

"Ελιξ. ἕλικες βόες Aj. 374.

"Ελκειν. οὐθ' εἷλκον οὔτ' ἂν ἦγον C. 927. ξίφους ἕλκει διπλοῦς κνώδοντας A. 1233.

"Ελκος. τί γὰρ γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος κάκος A. 652. ἕλκος τυφλωθὲν ἐξ ἀγρίας δάμαρτος A. 972. θερμοτάταν αἱμάδα κηκιομέναν ἑλκέων P. 697.

'Ελίσσειν. τοιαῦθ' ἑλίσσων ἤνυτον σχολῇ βραδὺς A. 231. ἁλίαν ἑλίσσων πλάταν Aj. 358.

'Ελλάς. ἐς πόλιν σθένουσαν ἥκων, εἴ τιν' 'Ελλάδος, μέγα C. 723. οὐθ' 'Ελλὰς, οὔτ' ἄγλωσσος γαῖα T. 1062. τὸ κλεινὸν 'Ελλάδος στράτευμα E. 694. 'Ελλάδος στολῆς P. 223. 'Ελλάδος πρόσχημ' ἀγῶνος E. 681.

'Ελλείπειν. ἄτας οὐδὲν ἐλλείπει A. 585. ξυμπονεῖν καὶ μηδὲν ἐλλείπειν Aj. 1379. οὐδὲν ἐλλείψω τὸ μὴ οὐ πᾶσαν πυθέσθαι τῶνδ' ἀλήθειαν πέρι T. 90. ὁρᾷ μόνον νιν ἐλλελειμμενον E. 736.

"Ελλην. πᾶς τοῦτό γ' 'Ελλήνων θροεῖ C. 597. 'Ελλάνων ἀγοραὶ T. 639. πάντων 'Ελλάνων ἀδικώτατοι ἀνέρες T. 1013. μισεῖ δέ μ' 'Ελλήνων στράτος Aj. 458. ὄνειδος 'Ελλάνων Aj. 1161. ὃς στυγερῶν ἔδειξ' ὅπλων "Ελλασι κοινὸν "Αρη Aj. 1196. "Ελλησι πᾶσιν ἄνδρας ἐνδίκους Aj. 1363. ὦ κρατίστου πατρὸς 'Ελλήνων τραφεὶς παῖ P. 3. "Ελληνές ἐσμεν P. 232. 'Ελλήνων ἕνα κριθέντ' ἄριστον P. 1344. ὁ φύσας 'Ελλάνων ἄναξ E. 483. μοῦνός 'Ελλήνων E. 531. ἀρίστου πατρὸς 'Ελλάνων γεγὼς Scyr. I. 2.

'Ελληνίς. χθονὸς μολόντ' ἀπὸ 'Ελλανίδος Aj. 426.

'Ελλησποντίς. 'Ελλησποντὶς πηλαμὶς πάροικος Pastores II. 2.

'Ελλός. ἐλλοῖς ἰχθύσιν Aj. 1297.

'Ελπίζειν. τήνδε δ' ἔξοδον ὀλεθρίαν Αἴαντος ἐλπίζει φέρειν Aj. 799. κακὰν δύστανον ἐλπίζουσαν αἶσαν T. 110. στυγερὰν Τρῳάδα γᾶν μ' ἤλπισας ἄξειν P. 1175. ἔκλυον ἐγὼ ἂν οὐκ ἂν ἤλπισ' αὐδὰν E. 1282. τῶνδε μηκέτ' ἐλπίσῃς ὅπως τεύξει ποτὲ E. 963. τάδ', ὦ παῖ, δεινὰ, τὸν Λαερτίου ταῦτ' ἐλπίσαι P. 629. αὐτὸν ἐλπίσαντες οἴκοθεν ἄξειν 'Αχαιοῖς ξύμμαχον Aj. 1052. τὸ μηδαμὰ ἐλπισθὲν ἥξειν σῶμα C. 1105.

'Ελπίς. ἀρχὴν βραχεῖαν εἰ λάβοιμεν ἐλπίδος R. 121. χρυσέας τέκνον ἐλπίδος ἄμφροτε φάμα R. 158. πέταμαι δ' ἐλπίσιν R. 487. ἐς τοσοῦτον ἐλπίδων ἐμοῦ βεβῶτος R. 771. ἔχ' ἐλπίδα R. 835. ἐλπίδος μ' ἀπέσπασας R. 1432. ἤδη γὰρ ἔσχες ἐλπίδα; C. 385. ἐλπίδων γὰρ ἐς τίν' ἡμᾶς δαίμων τανῦν γ' ἐλαύνει C. 1749. ὑπ' ἐλπίδων ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν A. 221. τῆς ἐλπίδος γὰρ ἔρχομαι δεδραγμένος A. 235. ἐκτὸς ἐλπίδος γνώμης τ' ἐμῆς σωθεὶς A. 330. σοφόν τι τὸ μηχανόεν τέχνας ὑπὲρ ἐλπίδ' ἔχων A. 366. ἡ 'κτὸς καὶ παρ' ἐλπίδας χαρὰ A. 392. ἐλπὶς πολλοῖς μὲν ὄνασις ἀνδρῶν A. 615. κάρτ' ἐν ἐλπίσι τρέφω φίλη μὲν ἥξειν πατρὶ A. 897. ἐλπίσιν δὲ βόσκομαι A. 1246. οὐκ ἀποτρύειν ἐλπίδα τὰν ἀγαθὰν χρῆναι T. 125. ἐλπίσιν λέγω σε τάδ' αἰὲν ἴσχειν T. 137. κακὸν μέγ' ἐκπράξασ' ἀπ' ἐλπίδος καλῆς T. 669. τὴν δ' ἐλπίδ' οὐ χρὴ τῆς τύχης κρίνειν πάρος T. 726. οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν οὐδ' ἐλπὶς T. 728. τάδε δὲ μελόμεν' ἐπ' ἐλπίσι T. 953. κεναῖσιν ἐλπίσιν θερμαίνεται Aj. 478. κακὰν ἐλπίδ' ἔχων Aj. 606. καί μ' ἔψευσας ἐλπίδος πολὺ Aj. 1382. τό τ' ἐλπίδων ἄπιστον οἰκούρημα τῶνδε τῶν ξένων P. 867. παρ' ἐλπίδα P. 882. τοῦ ποτε τεύξομαι σιτονόμου μέλεος, πόθεν ἐλπίδος P. 1091. τὰς οὔσας τέ μοι καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν E. 306. αἵ μοι μόναι παρῆσαν ἐλπίδων E. 810. τῶν φανερῶς οἰχομένων εἰς Ἀΐδαν ἐλπίδ' ὑποίσεις E. 834. ἐλπίδων ἔτι

κοινοτόκων ἀρωγοὶ E. 857. εἶχον ἐλπίδας E. 952. ἐς τίν' ἐλπίδων βλέψασ' ἔτ' ὀρθήν; E. 958. ὡς σ' ἀπ' ἐλπίδων οὐχ ὥνπερ ἐξέπεμπον, εἰσεδεξάμην E. 1128. εἴ τις ἐλπίσιν κεναῖς πάρος ἐξῄρετ' ἀνδρὸς τοῦδε E. 1460. τὸ δεινὸν ἐλπὶς οὐδὲν ὠφελεῖ Epigon. IV. 2. ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν I. T. XXIX.

Ἕλωρ. οἰωνοῖς ἕλωρ Aj. 830.

Ἐμαυτοῦ. οὔτ' ἐμαυτὸν οὔτε σ' ἀλγυνῶ R. 332. ἐμαυτὸν εἰς ἀρὰς δεινὰς προβάλλων R. 743. οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς θείμην ἐμαυτῷ A. 188. φράσαι θέλω σοι πρῶτα τἀμαυτοῦ A. 238. οὐκ αἰσχύνομαι ξύμπλουν ἐμαυτὴν τοῦ πάθους ποιουμένη A. 541. ψευδῆ γ' ἐμαυτὸν οὐ καταστήσω πόλει A. 657. τῷ γάρ με μᾶλλον εἰκός, ἢ 'μαυτῷ πονεῖν; Aj. 1367. δώμασιν ἐν τοῖς ἐμαυτῆς E. 263. τοσοῦτόν γ' οἶδα κἀμαυτὴν ὅτι ἀλγῶ 'πὶ τοῖς παροῦσιν E. 332.

Ἐμβαίνειν. ὅπως κρατῶσι μέν σου, γῆς δὲ μὴ 'μβαίνῃς ὅρων C. 400. ἐπὶ πωλικῆς ἀνὴρ ἀπήνης ἐμβεβὼς R. 803.

Ἐμβάλλειν. ἔμβαλλε χεῖρα δεξιὰν πρώτιστά μοι T. 1183. ἔμβαλλε χειρὸς πίστιν. Ἐμβάλλω μενεῖν P. 813. σῶμα τοὐμὸν ἐμβαλεῖν πυρὶ T. 1199. ἐμβαλοῦσα λυσσώδη νόσον Aj. 453. καλῶ δ' Ἄρη τὸν σφῷν τὸ δεινὸν μῖσος ἐμβεβληκότα C. 1392. ἐμβαλοῦ μ' ὅπῃ θέλεις ἄγων P. 481.

Ἐμβατεύειν. καί μοι φυγόντι μή 'στι τοὺς ἐμοὺς ἰδεῖν μήτ' ἐμβατεύειν πατρίδος R. 825. ἵν' ὁ Διόνυσος αἰὲν ἐμβατεύει C. 679.

Ἐμβλέπειν. ποῖ γάρ ποτ' ἐμβλέψασα τοιοῦτον θράσος αὐτή θ' ὁπλίζει E. 995.

Ἐμβριθής. τῆς ἀνάγκης οὐδὲν ἐμβριθέστερον I. T. XXXVIII. 3.

Ἐμμανής. ἐμμανὴς βοᾷ παραστᾶσα E. 294.

Ἐμμένειν. τῷ κηρύγματι ᾧπερ προεῖπας ἐμμένειν T. 451. εἰ σοί γ' ἅπερ φὴς ἐμμενεῖ τελοῦντί μοι C. 648. αὐτοῦ γε βαιὸν ἐμμείνασα T. 335. ἐμμένοντες ὀρθῷ νόμῳ Aj. 350. ἐπί μοι μελέῳ βάρος ἄπλετον ἐμμέμονε φρὴν T. 983.

Ἐμμεστοῦν. ἐν δ' ἐμεστώθη μέγας αἰθὴρ A. 420. ἐν δ' ἐμεστώθη δρόμος κτύπου E. 713.

Ἔμμηνος. ἐμμήνους χρόνους R. 1137. ἔμμηνα ἱερὰ E. 281.

Ἐμμισγεῖν. οἶμαι τάχ' ἐμμίξειν βοᾷ C. 1056.

Ἐμός. οἴκοισιν εἰ ξυνέστιος ἐν τοῖς ἐμοῖς γένοιτο μὴ οὐ ξυνειδότος R. 250. ἀδελφὴν τὴν ἐμὴν R. 577. εἰ μὴ τῷ 'μῷ πόθῳ κατέφθιτο R. 969. καὶ πῶς γένοιτ' ἂν τἀμὰ κἀκείνων πικρά; C. 606. ἔπαινον οὐκ ἐλάσσονα ἔτ' ἄλλον οἴσει τῆς ἐμῆς ὑπουργίας C. 1413. ὦ φῶς ἀφεγγές, πρόσθε πού ποτ' ἦσθ' ἐμὸν C. 1549. τὰς ἐμὰς ἀρχὰς σέβων A. 744. τοὐμὸν κρᾶτ' ἐν ὀφθαλμοῖς ἔχων A. 764. τὸν ἐμὸν πότμον ἀδάκρυτον A. 881. τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν Aj. 124. ἐπώνυμον τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς A. 431. κόμας ἐμᾶς, καὶ τῆσδε Aj. 1174. ὅρα μὴ τοὐμόν, ἀλλὰ καὶ τὸ σὸν Aj. 1313. τὰν ἐμὰν μελέου τροφὰν P. 1126. τὸ σὸν σπεύδουσ' ἅμα καὶ τοὐμὸν αὐτῆς E. 252. ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα κείνης διδακτὰ E. 343. λυμεὼν ἐμὸς Aj. 573.

Ἐμπαίειν. ἐμπαίει τί μοι ψυχῇ ξύνηθες ὄμμα E. 902.

Ἐμπαίζειν. ἄμαχος γὰρ ἐμπαίζει θεὸς Ἀφροδίτα A. 800.

Ἔμπαλιν. χώρᾳ δ' ἔμπαλιν κατοικιῶ C. 637. ἔμπαλιν λέγει T. 358. τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες E. 647.

Ἔμπαξ. τροφῆς ἄοκνον ἔμπακα A. 563.

Ἔμπας. ἔμπας ξυμμάρτυρας ὔμμ' ἐπικτῶμαι A. 845. ἐποικτείρω δέ νιν δύστηνον ἔμπας Aj. 122. ἀλλ' αὐτὸν ἔμπας ὄντα τοιόνδ' ἐμοὶ οὔκουν ἀτιμάσαιμ' ἂν Aj. 1338.

Ἐμπεδεῖν. ἐν δ' ὁ παγκρατὴς ὕπνος λύει πεδήσας Aj. 676.

Ἔμπεδος. ἄλλοτε μὲν πόνον ἔμπεδον εἴχομεν C. 1674. μένοντας ἐμπέδοις φρονήμασι A. 169. τάδ' ὀρθῶς ἔμπεδα κατουρίζει T. 829. οὐκ ἔτι συντρόφοις ὀργαῖς ἔμπεδος Aj. 640. ἴσθι τόδ' ἔμπεδον P. 1198.

Ἐμπέδως. βούλου λόγους, οὓς εἶπας ἐς τήνδ', ἐμπέδως εἰρηκέναι T. 486.

Ἔμπειρος. τοῖς ἐμπείροις R. 44. οὐ γάμων ἔμπειρος C. 752. τοῖς ἐμπείροις βροτῶν C. 1135.

Ἐμπελάζειν. πρὶν τῇσδε κοίτης ἐμπελασθῆναι T. 17.

Ἐμπίπτειν. ἐμπίπτει στέγῃ R. 1262. οἰκείας εἰς ἄτας ἐμπίπτεις E. 216. ἔθραυεν ἄλλος ἄλλον κἀνέπιπτε E. 729. οὐδεὶς ποτ' αὐτοὺς τῶν ἐμῶν ἂν ἐμπέσοι ζῆλος C. 942. εἴ τις ἐμπέσοι νόσος P. 699. πρὶν ἐμπεσεῖν σπαραγμὸν ἤ τιν' οἶστρον T. 1255. ἐν δ' ἑλίκεσσι βουσὶ καὶ κλυτοῖς πεσὼν αἰπολίοις Aj. 374. στέργειν δὲ ταμπεσόντα δεῖ I. T. XXVIII. λόγος γὰρ ἐμπέπτωκεν ἀρτίως ἐμοὶ C. 1150. ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις τοῦδ' ἀνδρὸς P. 965.

Ἐμπιτνεῖν. ἄλλοτ' ἄλλον ἐμπιτνῶν στρατηλατῶν κτείνειν Aj. 58. ἔβας τόσσον ἐν ποίμναις πίτνων Aj. 186.

Ἐμπλέκειν. πλεκταῖς ἐώραις ἐμπεπλεγμένην R. 1264.

Ἔμπλεος. σοί τε γὰρ ὄμμα ἔμπλεον T. 1022.

Ἔμπληκτος. φῶτες ἔμπληκτοι βροτῶν Aj. 1358.

Ἐμπνεῖν. βλέποντα κἀμπνέοντ' ἔτ' εἰσιδὼν P. 883.

Ἐμποδίζειν. σοφαὶ γνῶμαι θαμ' ἐμποδίζονται P. 432.

Ἐμποδών. κακὸν δὲ ποῖον ἐμποδών; R. 128. τά γ' ἐμποδὼν ὀχλεῖς R. 445.

Ἐμπολᾶν. τό γ' εὖ πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ T. 93. κερδαίνετ', ἐμπολᾶτε A. 1037. ὡς μὴ 'μπολήσων ἴσθι τὴν ἐμὴν φρένα A. 1263. ἆρ' ἠμπόληκας ὥσπερ ἡ φάτις κρατεῖ; Aj. 978. οὐκ ἐλεύθερος ἀλλ' ἐμποληθεὶς T. 250.

Ἐμπολή. λεπτῆς ἐπὶ ῥοπῆσιν ἐμπολὰς μακρὰς ἀεὶ παραρρίπτοντες Scyr. IV. 4.

Ἐμπόλημα. λωβητὸν ἐμπόλημα τῆς ἐμῆς φρενὸς T. 538.

Ἐμπόλητος. οὑμπόλητος Σισύφου Λαερτίῳ P. 417.

Ἔμπολις. σοὶ μὲν ἔμπολιν οὐκ ὄντα, συγγενῆ δὲ C. 1156.

Ἐμπορεύεσθαι. γαῖαν ἐμπορεύεται T. 456. ποῖ δ' ἐμπορεύει; E. 405. πρὸς τύραννον ἐμπορεύεται I. T. LIV. 1.

Ἔμπορος. πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμὶν ἐμπόρων C. 25. πολλὰ δ' ἐμπόρων ἔπη φιλεῖ πλανᾶσθαι C. 303. ἔνθα δίστομοι μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοὶ C. 901.

Ἐμπρέπειν. πολλοῖς ἐμπρέπουσαν ἄλγεσιν E. 1187.

Ἐμπρεπής. γυναικομίμοις ἐμπρεπεῖς ἐσθήμασιν I. T. XLVIII.

Ἐμπρήθειν. πυρὶ ἔμπρησον, ὦ γενναῖε, συλλαβὼν P. 801.

Ἔμπυρος. ἐμπύρων ἐγενόμην βωμοῖσι A. 1005. ποῖ φέρεις τάδ' ἔμπυρα; E. 405.

Ἔμπυος. ἔμπυον βάσιν P. 1378.

Ἐμφανής. οὐδαμοῦ τιμαῖς Ἀπόλλων ἐμφανὴς R. 909. οὐ γάρ ἐστι ταμφανῆ κρύπτειν C. 755. κτύπος σαφὴς μὲν αὐτῶν, ἐμφανὴς δὲ τοῦ ξένου C. 1501. ἐμφανῆ τάδ' ἦν A. 448. ὄψει δ' αὐτὸν ἐμφανῆ T. 199. νῦν σοι τέρψις ἐμφανὴς T. 291. δός μοι προσειπεῖν αὐτὸν, ἐμφανῆ τ' ἰδεῖν Aj. 538. ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε Aj. 753. πῶς ἂν ὑμὶν ἐμφανὴς ἔργῳ γενοίμην, ὥς μ' ἔθεσθε προσφιλῆ P. 532. ἐμφανῆ τεκμήρια E. 1109. ἐμφανῆ μαθεῖν E. 1454. κέρδος ἐμφανὲς θεῶν πάρα Aletes VII. 7. κακῶν τιμωρὸν ἐμφανῆ Aletes VII. 9. οὐδ' ὁρῶντες εἰσορῶσι τἀμφανῆ I. T. X. 2.

Ἐμφανῶς. ἄνωγεν ἡμᾶς ἐμφανῶς R. 97. φονεὺς ὢν τοῦδε τἀνδρὸς ἐμφανῶς R. 534. αὐτὴν εἷλον ἐμφανῶς A. 655. εἰ γὰρ ἐμφανῶς ἠμύνατο T. 278. φανερὸς ἐμφανῶς σταθεὶς T. 608. ἐμφανῶς θεοῖς ἐχθαίρομαι Aj. 456. εἶδον ἐμφανῶς E. 923. κλέπτων γὰρ ἐμφανῶς ἐφευρέθη I. T. XV. 1.

Ἐμφέρειν. αἰὲν ἐμφέρεις σύ μοι φόνους πατρῴους C. 989.

Ἐμφερής. τις ἐμφερὴς ἐμοὶ Aj. 1152.

Ἔμφοβος. αἱ γὰρ ἔμφοβοι θεαί σφ' ἔχουσι C. 39.

Ἔμφρων. γονεῦσι δ' οἵ σ' ἔφυσαν ἔμφρονες ἐδοκοῦμεν R. 436. ἐς δ' ὑγρὸν ἀγκῶν' ἔτ' ἔμφρων παρθένῳ προσπτύσσεται A. 1237. ἔμφρων μόλις πῶς ξὺν χρόνῳ καθίσταται Aj. 306.

Ἐμφύειν. ᾧ τἀληθὲς ἐμπέφυκε R. 299. ἐμφῦτε τῷ φύσαντι C. 1113. τί δ' ἂν θέλοις τὸ πιστὸν ἐμφῦναι φρενὶ C. 1488. πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακὰ Scyr. V. 1.

Ἐμφύλιος. αἷμ' ἐμφύλιον R. 1406. γῆς ἐμφυλίου δορὶ κρατῆσαι C. 1385. θανόντας βλέποντες ἐμφυλίους A. 1264.

Ἔμφυλος. οὐκ ἐᾷ τοὔμφυλον αἷμά σε C. 407.

Ἔμφυτος. πατρὸς ἔμφυτον ἄλαστον αἷμα C. 1671. ἐμφύτων τε καὶ θεηλάτων κακῶν I. T. XXVII. 6.

Ἔμψυχος. ἆρ' ἔτ' ἐμψύχου, τέκνα, κιχήσεταί μου; C. 1486. ἔμψυχον ἡγοῦμαι νεκρὸν A. 1167. εἴπερ ἔμψυχός γ' ἐγὼ E. 1221.

Ἐν. ἐν συμφοραῖς βίου R. 33. ἐν δαιμόνων ξυναλλαγαῖς R. 34. ἐν δ' ἄλοχοι, πολιαί τ' ἐπὶ ματέρες R. 183. ἐν ἀργοῖς οὐδὲ ταῦτ' ἐπραξάμην R. 287. ἐν σοὶ γάρ ἐσμεν R. 314. ὁ μάντις οὗτος ἦν ἐν τῇ τέχνῃ R. 562. ἐν ὅρκῳ μέγαν R. 653. φίλον ἐν αἰτίᾳ βαλεῖν R. 656. μέγας ἐν τούτοις θεὸς R. 871. ἦν σοι Πόλυβος οὐδὲν ἐν γένει R. 1016. ἔν τε γὰρ μακρῷ γήρᾳ ξυνάδει R. 1112. αἴσχιστ' ἐν ἀνθρώποισιν ἔργα R. 1408. τοὺς ἐν γένει γὰρ τἀγγενῆ μάλισθ' ὁρᾶν πρέπει κακὰ R. 1430. ἐν γὰρ τῷ μαθεῖν ἔνεστιν ηὐλαβεία τῶν ποιουμένων C. 116. οὐ μὰν ἔν γ' ἐμοὶ προσθήσεις τάσδ' ἀρὰς C. 153. λείπομαι γὰρ ἐν τῷ μὴ δύνασθαι C. 495. κακᾷ μ' ἐν εὐνᾷ πόλις ἐνέδησε C. 525. ὁδοῖς ἐν ταῖσδ' ἀκούων C. 553. ἤθλησα κινδυνεύματ' ἐν τῷ 'μῷ κάρᾳ C. 564. ἐν βραχεῖ δὴ τήνδε μ' ἐξαιτεῖ χάριν C. 586. τὰ δ' ἐν μέσῳ βίου καὶ λῆστιν ἴσχεις C. 583. θυμὸς δ' ἐν κακοῖς οὐ ξύμφορον C. 592. δεξιώματα ἐν δορὶ διασκεδῶσιν C. 620. ἔα μ' ἐν οἷσιν ἠρξάμην C. 625. ἐν οἷς μάλιστ' ἂν ἀλγοίην ἁλοὺς C. 764. ταῦτα δ' ἐν καιρῷ λέγεις C. 809. ἐν ἐμοὶ κατάδηλος ἔσται C. 1214. ἐν γήρᾳ τλάμων ὅδε κλονεῖται C. 1239. ἐν ἀφανεῖ μόρῳ C. 1682. εἰ τάδ' ἐν τούτοις A. 39. τοῖς ἐν τέλει βεβῶσι πείσομαι A. 67. λόγοι δ' ἐν ἀλλήλοισιν ἐρρόθουν κακοὶ A. 259. ἐν τοῖσιν ὠσὶν ἢ 'πὶ τῇ ψυχῇ δάκνει; A. 317. ἐν ἀφροσύνῃ καθελόντες A. 383. ἐν θεοῖσι τὴν δίκην δώσειν A. 459. ἀδελφὸν ἐν τάφῳ τιθεῖσα A. 503. ἐν δόμοις ἔχειν τέκνα A. 642. γυνὴ κακὴ ξύνευνος ἐν δόμοις A. 651. ἐν Ἅιδου νυμφεύειν τινὶ A. 654. ἐν τοῖς γὰρ οἰκείοισιν ὅστις ἔστ' ἀνὴρ χρηστὸς A. 661. ἐν πόλει δίκαιος ὢν A. 662. ἐν φοναῖς πεπτῶτα A. 696. μὴ νῦν ἓν ἦθος μοῦνον ἐν σαυτῷ φόρει A. 705. ἐν ὀφθαλμοῖς ὁρῶν A. 764. Ἔρως ὃς ἐν κτήνεσι πίπτεις, ὃς ἐν μαλακαῖς παρειαῖς νεάνιδος ἐννυχεύεις φοιτᾷς τ' ἐν ἀγρονόμοις αὐλαῖς A. 784. πάρεδρος ἐν ἀρχαῖς θεσμῶν A. 798. οὔτ' ἐν βροτοῖς οὔτ' ἐν νεκροῖσι μέτοικος A. 851. ὧν ἀριθμὸν ἐν νεκροῖς πλεῖστον δέδεκται Περσέφασσα A. 893. ἐν ἐλπίσιν τρέφω φίλη μὲν ἥξειν πατρὶ A. 897. τάδ' ἐστὶν ἐν θεοῖς καλὰ A. 925. κατάφρακτος ἐν δεσμῷ A. 958. ψαύων τὸν θεὸν ἐν κερτομίοις γλώσσαις A. 961. τηλεπόροις δ' ἐν ἄντροις τράφη θυέλλησιν ἐν πατρῴαις A. 984. σπῶντας ἐν χηλαῖσιν ἀλλήλους A. 1003. ψυχὴν ἀτίμως ἐν τάφῳ κατῴκισας A. 1069. ἄτῃ πατάξαι θυμὸν ἐν δεινῷ πάρα A. 1097. ἐν νεοσπάσι θαλλοῖς ὃ δὴ λέλειπτο συγκατήθομεν A. 1201. ἐν τῷ ξυμφορᾶς διεφθάρης; A. 1229. δείξας ἐν ἀνθρώποισι τὴν ἀβουλίαν A. 1242. ἐν δ' ἐμῷ κάρᾳ θεὸς μέγα βάρος μ' ἔχων ἔπαισε A. 1271. οὐ γὰρ ἐν μυχοῖς ἔτι A. 1293. ποίῳ δὲ κἀπελύσατ' ἐν φοναῖς τρόπῳ A. 1314. κακὰ τὰν χεροῖν τά τ' ἐπὶ κρατὶ A. 1345. ἐν τρισὶν μορφαῖσι T. 10. ἐν μήκει χρόνου T. 69. ἐν ῥοπῇ τοιᾷδε κειμένῳ T. 82. ἐν δὲ κοινὸς ἀρσένων ἴτω κλαγγὰ T. 207. ὧν ὁρᾷς ἐν ὄμμασιν T. 241. γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις T. 315. ἐν μέσῳ Κύπρις ῥαβδονομεῖ T. 515. εἴ τις ἐστὶ πίστις ἐν τοῖς δρωμένοις T. 587. θυτῆρα καινῷ καινὸν ἐν πεπλώματι T. 613. οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν οὐδ' ἐλπίς T. 727. ξυμφορὰν ἐν ὄμμασι πατρὸς δεδορκὼς T. 749. στονόεντος ἐν τομᾷ σιδήρου T. 889. πολλὰ μὲν ἐν πόντῳ κατὰ δὲ δρία πάντα καθαίρων T. 1014. ὁρῶν λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον T. 1071. ἐν οἷς χαίρειν προθυμεῖ T. 1120. φράσων ἐν οἷς νῦν ἐστιν T. 1124. δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ Aj. 43. ἐν ποίμναις πιτνῶν Aj. 185. ἐχθρῶν γ' ὕβρις ὁρμᾶται ἐν εὐανέμοις βάσσαις Aj. 198. κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι Aj. 267. ἐν τῷ πράγματος κῦροί ποτε Aj. 314. ἐν ἀφόβοις θηρσὶ δεινὸν χέρας Aj. 336. ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βο-

τοῖς Aj. 453. ἐν σοὶ πᾶσ' ἔγωγε σώζομαι Aj. 519. ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος Aj. 554. δείξεις ἐν ἐχθροῖς οἷος ἐξ οἵου 'τράφης Aj. 557. κρατοῦντ' ἐν Ἄρει Aj. 614. χερόπληκτοι δ' ἐν στέρνοισι πεσοῦνται δοῦποι Aj. 632. ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει Aj. 851. ἐν χρείᾳ δορὸς Aj. 963. ἐν κένοις ὑβριζέτω Aj. 971. ἐν γήρᾳ βαρὺς Aj. 1017. ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ φίλα Aj. 1038. ἐν θανοῦσιν ὑβριστὴς γένῃ Aj. 1092. μηδὲν ὄντας ἐν τροπῇ δορὸς Aj. 1275. κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει Aj. 1352. ἐν λιταῖς στείλαντες ἐξ οἴκων μολεῖν P. 60. ἐν δόλῳ δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν P. 102. πάντων ἄμμορος ἐν βίῳ P. 182. ἐμ' εὐθὺς ἐν κύκλῳ στρατὸς ἠσπάζετο P. 356. ἐν παρέργῳ θοῦ με P. 473. ἐν μέσοις δεῖξαί μ' Ἀχαιοῖς P. 630. πάντα ταῦτ' ἐν εὐχερεῖ ἔθου P. 875. ἐν σοὶ γὰρ τὸ πλεῖν ἡμᾶς P. 963. ὦ χεῖρες, οἷα πάσχετ' ἐν χρείᾳ φίλης νευρᾶς P. 1004. εὖ προὐδίδαξεν ἐν κακοῖς εἶναι σοφὸν P. 1015. ἄφιλον, ἔρημον, ἄπολιν, ἐν ζῶσιν νεκρὸν P. 1018. τίς ὧδ' ἐν αὔραις τρέφεται; P. 1160. ξύμπας Ἀχαιῶν λαὸς, ἐν δὲ τοῖσδ' ἐγὼ P. 1243. εἴ σέ γ' ἐν λόγοις πείσειν δυνησόμεσθα P. 1397. ἐν τάχει βουλευτέον E. 16. ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν E. 26. ἡμᾶς τ' ὀτρύνεις καὐτὸς ἐν πρώτοις ἔπει E. 28. ἔστι μέγας ἐν οὐρανῷ Ζεὺς E. 175. ἐν τίνι τοῦτ' ἔβλαστ' ἀνθρώπων; E. 238. ἄλλος δ' οὐδεὶς ἐν πένθει βροτῶν E. 290. ἐν μὲν τοιούτοις οὔτε σωφρονεῖν, φίλαι, οὔτ' εὐσεβεῖν πάρεστιν E. 307. ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ E. 335. νῦν γὰρ ἐν καλῷ φρονεῖν E. 384. οὖν τάφοις νέκυς E. 443. ἐν Ἅιδου κείμενος E. 463. κατέπεφνεν αἰσχίσταις ἐν αἰκίαις E. 487. πνεύματ' ἔσχ' ἐν Αὐλίδι E. 564. οὐ γὰρ ἐν φίλοις ὁ μῦθος E. 638. ἐν βραχεῖ ξυνθεὶς λέγω E. 673. ὄλωλα τῇδ' ἐν ἡμέρᾳ E. 674. ἐν πολλοῖσι ταὐρά σοι λέγω E. 688. ἐκεῖνος ἐν τούτοισι Θεσσαλὰς ἔχων ἵππους E. 703. ἐν βραχεῖ χαλκῷ μέγιστον σῶμα E. 757. ἐν λόγοις ἄλγεινα E. 761. δουλεύειν ἐν ἐχθίστοις ἀνθρώπων E. 814. τὸν ἐν πένθει E. 847. ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον E. 899. ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία καὶ τῷ λέγοντι, καὶ κλύοντι, σύμμαχος E. 990. ἐν κακοῖς ἤδη βεβηκὼς E. 1050. δύο φέρειν ἐν ἑνὶ λόγῳ E. 1087. μοίρᾳ βεβῶσαν ἐν ἐσθλᾷ E. 1094. φέροντες αὐτοῦ μικρὰ λείψαν' ἐν βραχεῖ τεύχει θανόντος E. 1114. ἐν δυσμενείᾳ δ' οὖσα E. 1124. οὔτ' ἐν φίλῃσι χερσὶν ἡ τάλαιν' ἐγὼ λουτροῖς ἐκόσμησα E. 1138. ἐν ξένῃσι χερσὶ κηδευθεὶς E. 1141. ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ E. 1149. ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων; E. 1186. κἂν ἄλλοισι θυμοίμην ἰδὼν E. 1278. πρόσοψιν ἇς ἐγὼ οὐδ' ἐν κακοῖς λαθοίμην E. 1287. οὐ παρ' αὐτοῖς ἀλλ' ἐν αὐτοῖσι κακοῖς E. 1329. βίον λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις E. 1444. ἐν φύλλοισιν αἰγείρου μακρᾶς Aeg. VI. 1. κάρα κινεῖτ' ἐν αὔραις Aeg. VI. 3. τετράπτεροι γὰρ νῶτον ἐν δεσμώμασιν Aeth. II. ἐν παντὶ σκορπίος φρουρεῖ λίθῳ Capt. IV. ἐλαφρὸς ἐν δισκήματι Acris. XII. 2. οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταὐτῷ μένει Alet. VI. 3. ἐν θρόνοισι γραμμάτων πτύχας ἔχων Achæor. Conv. V. 1. χαρακτὴρ αὐτὸς ἐν γλώσσῃ Hel. I. 1. νικᾷ δ' ἐν πόλει τὰ χείρονα Eriph. II. 2. τά τ' ἐν Ἕλλησι ξόαν' ἡδυμελῆ Thamyr. II. 2. Ἐν Διὸς κήποις ἀροῦσθαι μόνον εὐδαίμονας ὄλβους Ion I. 1. τοὺς ἐν Ἄργει καὶ κατὰ Σπάρτην θεοὺς Lacæn. III. 2. ἐν πύλαις πάρεστι Laoc. III. 1. εἰρήσεταί που κἂν βραχίστοις Ulyss. I. 1. ἐν κακοῖσι θυμωθεὶς Tereus VII. 3. ἐν φύλῳ ἀνθρώπων Tereus VIII. 1. θὲς δ' ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους Triptol. VIII. μάνδραις ἐν ἱππείαισιν Tyro XV. 3. κύρσασα δ' ἐν λειμῶνι ποταμίων ποτῶν ἴδῃ σκιᾶς εἴδωλον Tyro XV. 5. τὸ γὰρ γυναιξὶν αἰσχρὸν ἐν γυναιξὶ δεῖ στέγειν Phædr. VI. 2. ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται I. T. XVI. 3. ἔνεστιν ἐν χέρσου τετρασκελεῖ γένει, νωμᾷ δ' ἐν οἰωνοῖσι τοὐκείνης πτερὸν, ἐν θηρσὶν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω I. T. XXIII. 10—12. γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνὴρ I. T. LVIII. 6. ἔχει γὰρ ἕδραν Ζεὺς ἐν ἐσχάτῳ θεῶν I. T. LXXXII. 9.

ὀργὴ γέροντος, ὥστε μαλθακὴ κοπὶς ἐν χειρὶ θήγετ', ἐν τάχει δ' ἀμβλύνεται I. T. LXXXIV. 1.

'Εναγής. τὸν ἐναγῆ φίλον μήποτ' ἐν αἰτίᾳ βαλεῖν R. 656.

'Εναίρειν. πόλις ἐναίρεται C. 842. οὐκ οἶδ' ἐναίρων νεκρὸν P. 946. θῆρ' ὀρειβάτην τόξοις ἐναίρων P. 956. εὐγενεῖς γὰρ κἀγαθοὺς φιλεῖ Ἄρης ἐναίρειν Phryg. I. 2.

'Εναίσιος. ἐναισίῳ δὲ συντύχοιμί σοι C. 1482.

'Ενάλιος. ἐναλίῳ Ποσειδαωνίῳ θεῷ C. 1495. εἰναλίαν φύσιν πόντου A. 346. ἐναλία πόλις Thyest. VI. 1.

'Εναλλάσσειν. τί δ' ἐνήλλακται τῆς ἀμερίας νὺξ ἥδε βάρος; Aj. 208. νῦν δ' ἐνήλλαξεν θεὸς Aj. 1060.

'Ενάλλεσθαι. ἐς τὸ κείνου κρᾶτ' ἐνήλαθ' ἡ Τύχη R. 263. πύλαις διπλαῖς ἐνήλατο R. 1261.

Ἔναντα. τὸν δ' ἔναντα προσβλέπω νεκρὸν A. 1298.

'Εναντίος. τοιαῦτ' ὀνειδίζεις με τῶνδ' ἐναντίον C. 1002. τοῦδε χρὴ κλύειν καὶ σμικρὰ καὶ δίκαια καὶ τἀναντία A. 671. Ἕκτορος ἦλθ' ἐναντίος Aj. 1284. κἀκείνοισι ταῦτ' ἐναντία P. 642. σθένεις τ' ἔλασσον τῶν ἐναντίων E. 998. τὴν ἐναντίαν δίκην Alet. VII. 8. τῶν ἐναντίων κρατεῖν Aloadæ VIII. 2.

'Εναντιοῦν. οὐκ ἔστι λῃσταῖς πνεῦμ' ἐναντιούμενον P. 643.

'Ενάπτεσθαι. ὡς τοῦ μὲν αἰόλον γραφίοις ἐνημμένοις Hel. II. 2.

'Εναργής. λῃστὴς ἐναργὴς R. 535. κείνας ἐναργεῖς δεῦρό μοι στήσεις C. 910. κουδεὶς ἐναργὴς A. 263. ἐναργὴς βλεφάρων ἵμερος εὐλέκτρου νύμφας A. 796. φοιτῶν ἐναργὴς ταῦρος T. 11. τάδ' ἀντίπρωρα δή σοι βλέπειν πάρεστ' ἐναργῆ T. 224.

'Εναργῶς. κλύουσ' ἐναργῶς E. 878.

'Εναρίζειν. ἄγε με, καὶ τότ' ἐνάριξον C. 1733. ὃν αἰόλα νὺξ ἐναριζομένα τίκτει T. 94.

'Εναριθμεῖν. ὑμᾶς ἴσα καὶ τὸ μηδὲν ζώσας ἐναριθμῶ R. 1188.

Ἔναρα. κλυτῶν ἐνάρων ψευσθεῖσα Aj. 177.

Ἔνατος. ἔνατος δ' Ἀθήνων τῶν θεοδμήτων ἄπο E. 707.

'Εναυλίζειν. στειπτὴ δὲ φυλλάς, ὡς ἐναυλίζοντί τῳ P. 33.

Ἔναυλος. τίν' ἔχει στίβον, ἔναυλον ἢ θυραῖον P. 158.

'Ενδατεῖσθαι. βέλεα θέλοιμ' ἂν ἀδάμαστ' ἐνδατεῖσθαι R. 205. τὸ δυσπάρευνον λέκτρον ἐνδατούμενος T. 793.

'Ενδεής. τὰ κρείσσω, μηδὲ τἀνδεᾶ λέγειν C. 1430. οὐδὲν ἐνδεὲς ποιούμενος P. 375. αἰσχρὰ σοῦ γ' ἔμ' ἐνδεέστερον ξένῳ φανῆναι P. 524.

'Ενδεικνύναι. πρίν γ' ἂν ἐνδείξω τί δρῶ C. 48.

'Ενδεῖν. κακᾷ μ' ἐν εὐνᾷ πόλις οὐδὲν ἴδριν γάμων ἐνέδησεν ἄτᾳ C. 525.

Ἔνδηλος. ἆρ' ἔνδηλα καὶ σαφῆ λέγω; A. 405.

μανθάνειν δ' ἥδιστον εὖ λέγοντος A. 1031. ἕως ἂν ἐξῇ μανθάνειν βελτίονα I. T. C. 5. Θήσευς παρέστω μανθάνων τὰ δρώμενα C. 1644. αὐτὸς παρ' αὐτῶν μανθάνων ἄνευ πόνου I. T. C. 7. ἐμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων C. 438. τοιαῦτα παιδὸς τοῦδ' ἐμάνθανον πάρα A. 1012. οὔτε τανῦν πω ἔμαθον R. 492. μάθ' οὕνεκ' ἐστί σοι βροτεῖον οὐδὲν μαντικῆς ἔχον τέχνης R. 708. δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ E. 352. ἆρ' ἂν παρ' ὑμῶν, ὦ ξένοι, μάθοιμ' ὅπου τὰ τοῦ τυράννου δώματ' ἐστίν; R. 924. κἄνευ θεοῦ τις τοῦτό γ' ἂν γνώμῃ μάθοι C. 403. χρόνῳ μάθοις ἂν C. 580. εἰ τὸ πᾶν μάθοις T. 1137. τοὺς δ' ἂν τὸ Θήβης ἄστυ ναίοντας μάθοις T. 1156. σοῦ γὰρ λέγοντος οὐκέτ' ἂν μάθοιμι Aj. 1262. πρὶν μάθοιμ' εἰ καὶ πάλιν γνώμην μετοίσεις P. 961. ὡς μάθοιμ' ὅτῳ τρόπῳ E. 33. εἰ σὺ μὲν μάθοις τοῖς τοῦδε χρῆσθαι E. 370. ἢ μάθω μολοῦσά που C. 26. ὅταν μάθῃς μου νουθέτει C. 593. ὡς παρ' εἰδυίας μάθῃς Aj. 13. ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς Aj. 555. μὴ καὶ μάθῃ μ' ἥκοντα P. 13. πρὶν ἂν μάθω πρῶτον τόδε P. 332. ὥς με καὶ μάθῃς ἀφ' ὧν διέζων P. 534. ἐπίσχετον, μάθωμεν P. 539. μὴ στέναζε, πρὶν μάθῃς P. 917. μέθες τόδ' ἄγγος νῦν ὅπως τὸ πᾶν μαθῇς E. 1205. ἓν γὰρ πόλλ' ἂν ἐξεύροι μαθεῖν R. 120. ἐγὼ δὲ σοῦ μαθεῖν δικαιῶ ταῦτα R. 575. τί προσχρῄζων μαθεῖν; R. 1155. μαθεῖν δ' ἐγὼ κακὸς σοῦ R. 545. ἐν γὰρ τῷ μαθεῖν ἔνεστιν ηὐλάβεια τῶν ποιουμένων C. 115. αὐδῇ δ' αὐτίκ' ἔξεστιν μαθεῖν C. 323. οὐκ ἔχω μαθεῖν C. 384. τοῦτο βούλομαι μαθεῖν C. 504. τί δ' ἐθέλεις μαθεῖν C. 543. σέ τ' εἰκός, εἴ τι καίριον λέγει, μαθεῖν A. 725. θαῦμ' ἀνέλπιστον μαθεῖν T. 675. Ἐριννῦς τανύποδας μαθεῖν ἐμὲ καλῶ Aj. 837. μαθεῖν γὰρ ἐγγὺς ὢν οὐ δυσπετής Aj. 1046. κείνης γὰρ οὐ θέμις μαθεῖν E. 565. πάρεστιν ἐμφανῶς μαθεῖν E. 1454. εἰ τοὺς κτανόντας Λάϊον, μαθόντες εὖ, κτείναιμεν R. 308. ἀπ' οἰωνῶν μαθὼν R. 398. ὡς οὐκ ἀλεξοίμην μαθὼν R. 539. κρῖν' αὐτὸς μαθὼν R. 544. μαθοῦσά γ' ἥτις ἡ τύχη R. 680. ἀξία δέ που μαθεῖν κἀγὼ τά γ' ἐν σοὶ δυσφόρως ἔχοντα R. 769. ἃ δ' ἂν ἔρῃ μαθοῦσ' ἐρῶ R. 749. αὐτὸς ξυνειδώς, ἢ μαθὼν ἄλλου πάρα R. 704. ἔχω μαθὼν δείλαιος A. 1272. τοῦ τόδ' ἀστῶν ἢ ξένων μαθὼν λέγεις; T. 187. ἐκ κείνου μαθὼν ψεύδει T. 449. ἐγὼ μαθοῦσ' ἔληξα Aj. 294. αὐτὸν ἐν κύκλῳ μαθόντες ἀμφέστησαν Aj. 724. τοῦ ποτ' ἀνθρώπων μαθών; Aj. 800. μαθὼν ὃς εἶ φύσιν Aj. 1259. μαθὼν γὰρ οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν P. 118. ὧν μαθόντες, αὖθις εἴσιτον P. 541. ὡς μαθοῦσά μου τὸ λοιπὸν ἢ φρονοῦσαν ἢ μωρὰν λέγῃς E. 889. αὐτὸς μαθήσει C. 1527. ἅπαν μαθήσει τοὔργον Aj. 284. μαθησόμεσθα δ' Ἀτρείδας σέβειν Aj. 667.

Μανία. τίς σ', ὦ τλήμων, προσέβη μανία; R. 1300. κεῖνος ἐπέγνω μανίαις ψαύων τὸν θεὸν ἐν κερτομίοις γλώσσαις A. 960. μανίας δεινὸν ἀποστάζει μένος A. 959. τόδ' ἀκήλητον μανίας ἄχθος T. 1002. μανίᾳ ἁλοὺς Aj. 216. θείᾳ μανίᾳ ξύναυλος Aj. 612.

Μανιάς. μανιάσιν νόσοις Aj. 59.

Μαντεία. Φοῖβός τ' ὁ πέμψας τάσδε μαντείας R. 149. μαντείας ἔδει R. 394. οὐχὶ μαντείας γ' ἂν οὔτε τῇδ' ἐγὼ βλέψαιμ' ἂν οὕνεκ', οὔτε τῇδ' ἂν ὕστερον R. 857. ἀπὸ μαντείας τίνος; T. 239. μαντεῖαι βροτῶν οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις E. 498.

Μαντεῖον. θεοῦ μαντεῖον ἐξέφηνεν R. 243. τὸ Πυθικὸν μαντεῖον E. 33. τοῦ θεοῦ μαντεῖα T. 407. μεσόμφαλα γᾶς μαντεῖα R. 480. πατρὶ μαντεῖ' ἄγουσα C. 354. τῆσδέ τε μαντεῖ' ἀκούων C. 453. ἔλειπέ μοι μαντεῖα πιστὰ τῆσδε τῆς χώρας πέρι T. 76. μαντεῖα καινὰ τοῖς πάλαι ξυνήγορα T. 1167.

Μαντεῖος. μαντείᾳ σποδῷ R. 21.

Μαντεύεσθαι. εἴπερ τί Κάλχας εὖ φρονῶν μαντεύεται Aj. 746.

Μάντευμα. θεήλατον μάντευμα δεινὸν R. 992. ὦ θεῶν μαντεύματα, ἵν' ἐστὲ R. 946. τὰ σεμν' ἵν' ἥκει τοῦ θεοῦ μαντεύματα R. 953. τοῖς νῦν γὰρ ἐλπίδ', ὦ πάτερ, μαντεύμασιν ἔχω C. 387. ὁρᾷς τὰ τοῦδ' οὖν ὡς ἐς ὀρθὸν ἐκφέρει μαντεύματα; C.

1427. *ἐμάνθανον φθίνοντ' ἀσήμων ὀργίων μαντεύματα* A. 1013.

Μαντική. *μαντικῆς ἔχεις ὁδὸν* R. 311. *μαντικῇ μηδὲν φρονεῖν* R. 461. *οὐδὲ μαντικῆς ἄπρακτος ὑμῖν εἰμὶ* A. 1034.

Μαντικός. *μαντικῆς ἔχον τέχνης* R. 709. *φῆμαι μαντικαί* P. 723. *τὸ μαντικὸν γὰρ πᾶν φιλάργυρον γένος* A. 1055.

Μάντις. *τὸν θεῖον ἤδη μάντιν ὧδ' ἄγουσι* R. 298. *ποῦ σὺ μάντις εἶ σαφής;* R. 390. *ἀνδρῶν ὅτι μάντις πλέον ἢ 'γὼ φέρεται* R. 500. *ὁ μάντις τοὺς λόγους ψευδεῖς λέγει* R. 526. *τότ' οὖν ὁ μάντις οὗτος ἦν ἐν τῇ τέχνῃ;* R. 562. *μάντιν κακοῦργον εἰσπέμψας* R. 705. *ἀθυμῶ μὴ βλέπων ὁ μάντις ᾖ* R. 747. *εἴπερ ἐγὼ μάντις εἰμὶ* R. 1086. *μάντις εἴμ' ἐσθλῶν ἀγώνων* C. 1080. *σὺ τῷ μάντει πιθοῦ* A. 992. *οὐ βούλομαι τὸν μάντιν ἀντειπεῖν κακοῖς* A. 1053. *σοφὸς σὺ μάντις* A. 1059. *μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς* A. 1160. *ὦ μάντι* A. 1178. *ἆρ' εἰμὶ μάντις;* A. 1212. *πίπτειν ἔφασχ' ὁ μάντις* Aj. 760. *τοῦ Θεστορείου μάντεως μαθὼν* Aj. 800. *οὐδεὶς μάντις τῶν μελλόντων* Aj. 1419. *μάντις ἦν τις εὐγενὴς* P. 604. *ταῦτ' εἰπόντ' ἤκουσε μάντιν;* P. 615. *εἰ μὴ 'γὼ παράφρων μάντις ἔφυν* E. 473. *μάντις ὢν ἄριστος ἐσφάλλου* E. 1481. *ἐγώ σοι μάντις εἰμὶ τῶνδ' ἄκρος* E. 1499. *ὁ πιννοτήρης τοῦδε χωρεῖ μάντεως* Amph. 2. *κἀπὸ μαντέων ταύτῃ κλύων* C. 1300. *τάχ' εἰσόμεσθα μαντέων ὑπέρτερον* A. 631.

Μαραίνειν. *πάνθ' ὁ μέγας χρόνος μαραίνει* A. 714. *πίνος πλευρὰν μαραίνων* C. 1260. *πῶς ἔτλης τοιαῦτα σὰς ὄψεις μαρᾶναι* R. 1369

Μαργᾶν. *πρὸς ἅπερ οἱ μαργῶντες εὐτονώτατοι* I. T. LIX. 2.

Μαργότης. *ἀκοσμία φαίνοιτ' ἂν εἶναι, σῶν τε μαργότης φρενῶν* I. T. LXII. 2.

Μαρμαρόεις. *μαρμαρόεσσαν αἴγλαν* A. 610.

Μάρπτειν. *ἄσκοποι δὲ πλάκες ἔμαρψαν* C. 1681. *οὐκ ἄν τις αὔτ' ἔμαρψεν ἄλλος ἀντ' ἐμοῦ* Aj. 444. *μάρψας ποδός νιν* T. 781.

Μαρτυρεῖν. *μαρτυρῶ κάκιστος ἀνθρώπων ἥκειν* C. 1265. *ἔχω πεπονθὼς μαρτυρεῖν ὀνήσιμα* A. 995. *ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἀγὰν* Aj. 354. *οὐ μαρτυρήσει ταῦθ' ὁ κατθανὼν* A. 515. *τίς σοὶ μαρτυρήσει ταῦτ' ἐμοῦ κλύειν πάρα;* T. 422. *ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν τὰ σὰ* R. 1032.

Μαρτυρέσθαι. *Μαρτύρομαι τοὔσδ' οὐ σέ* C. 813.

Μάρτυς. *ἐγὼ δὲ τοῖσδε μάρτυς ἐν λόγοις* P. 319. *πολλῶν παρόντων μαρτύρων* T. 352. *τούτων μάρτυρας καλῶ θεοὺς* T. 1250.

Μάσσειν. *φορεῖτε, μασσέτω τις* Ach. Conv. IV. 1.

Μαστήρ. *καὶ Κρέοντα πεμπόντων ἐμοῦ μαστῆρα* C. 456. *μαστὴρ πατρὸς ὃς πρὶν ᾤχετο* T. 735.

Μαστιγίας. *μαστιγίαι, κέντρωνες, ἀλλοτριοφάγοι* Cedal. III.

Μάστιξ. *μάστιγι νῶτα φοινιχθεὶς* Aj. 110. *παίει λιγυρᾷ μάστιγι διπλῇ* Aj. 242. *βοῦς ὑπὸ σμικρᾶς μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται* Aj. 1254. *μάστιγα τοῦ βίου παλίντροπον* Ajax Locr. IV. 5.

Μαστός. *Ἐφ' ᾧ χρυσήλατος προὔκειτο μαστῶν περονὶς* T. 927. *μαστῶν ἀποστὰς καὶ τροφῆς ἐμῆς* E. 776.

Μασχαλίζειν. *ἄτιμος ὥστε δυσμενὴς ἐμασχαλίσθη* E. 445.

Ματάζειν. *τῶν ἀθίκτων ἕξεται ματάζων* R. 891.

Μάταιος. *ἆρ' οὐ ματαίου τῆσδ' ἂν ἡδονῆς τύχοις;* C. 780. *ἄγοιτ' ἂν μάταιον ἄνδρ' ἐκποδὼν* A. 1329. *εἰ μὴ κυρῶ λεύσσων μάταια* T. 407. *ψαύει ματαίαις χερσὶ* T. 565. *εἴ τι μὴ δοκῶ πράσσειν μάταιον* T. 587. *πότερον ἐγὼ μάταιος, ἢ κλύω;* T. 865. *ὦ ματαία* T. 890. *κλύειν ἀνδρὸς ματαίου* Aj. 1168. *θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενὰ* P. 331. *ματαίαν βάξιν* E. 642.

Ματαίως. *ὥς νιν ματαίως αἰτίᾳ βάλοι κακῇ* T. 942.

Ματεύειν. *Φωκῆς ματεύουσ' ἄνδρες Αἴγισθον* E. 1107. *μηδέ γε μάτευε* C. 1743. *μηδ' ἐξετάσῃς πέρα ματεύων* C. 211. *πατέρα ματεύων* P. 1210. *ὃν κἀμάτευες πρόσθεν εἰσιδεῖν* R. 1052. *μὴ ματεύσῃς τοῦτο* R. 1061.

Μάτην. *μάτην εἰρήσεται* R. 365. *τοὺς κακοὺς μάτην χρηστοὺς νομίζειν* R.

609. εἰ πολλῶν ὑπερπλησθῇ μάτην R. 874. μεμνῆσθαι μάτην R. 1057. ἃ μὴ φρονῶ γὰρ οὐ φιλῶ λέγειν μάτην R. 1520. κληδόνος καλῆς μάτην ῥεούσης C. 259. πολλὰ μάτην ἔπη C. 658. ἢ μάτην τανῦν τε σοὶ δοκεῖ λελέχθαι C. 1034. τί δεῖ μάτην κομπεῖν C. 1147. ἡ μάτην πολλὴ βοὴ A. 1252. μῦθον μάτην ἤκουσας T. 341. ἐν ὅτοις ἀλγεῖ μάτην T. 1121. Διὸς μάτην ἄκοιτιν T. 1151. νοσῶν μάτην Aj. 635. οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην Aj. 852. λέγοντες, εἴτ' ἀληθὲς, εἴτ' ἄρ' οὖν μάτην P. 345. μάτην γὰρ, ἃ ᾿ν εἴπῃς γε, πάντ' εἰρήσεται P. 1276. πάντα γὰρ φράσεις μάτην P. 1280. λόγῳ μάτην θνήσκοντα E. 33. μάτην ἄρ' ἡμεῖς, ὡς ἔοικεν, ἥκομεν. Οὔ τοι μάτην γε E. 773. τὰ δ' ἐγχεῖ, τὰ δὲ διασπείρει μάτην E. 1291. ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ στέναζε E. 1298.

Μάχεσθαι. Πόλει μάχει γὰρ, εἴ τι πημαίνεις ἐμὲ C. 837. μὴ μάχου βίᾳ Lac. II. 2. πῶς οὖν μάχωμαι, θνητὸς ὢν, θείᾳ τύχῃ; Eriph. IV. 1. οὔτ' ἆρα Τρωσὶν ἀλλά σοι μαχούμεθα P. 1253. γυναῖχ' ὅτι ἔφυμεν, ὡς πρὸς ἄνδρας οὐ μαχουμένα A. 62. ἄλλοισι τούτων πλείοσιν μαχούμενοι E. 1371.

Μάχη. τέλος μάχης C. 423. σὺν μάχῃ δορὸς A. 674. Ἔρως, ἀνίκατε μάχαν A. 781. εἰς ἀγῶνα τῷδε συμπεσὼν μάχης T. 20. ἐκ μάχης ἄγοντ' ἀπαρχὰς θεοῖσι T. 182. καθ' ἡμᾶς, δ' οὔποτ' ἐκρήξει μάχη Aj. 775. φόνοι, στάσεις, ἔρις, μάχαι C. 1233. τὸν ἐν δαΐοις ἄτρεστον μάχαις Aj. 365. ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος E. 302.

Μεγαλώνυμος. ἁ μεγαλώνυμος Νίκα A. 148.

Μεγαρεύς. Μεγαρέως κλεινὸν λέχος A. 1303.

Μέγας. Μέγαν θάλαμον Ἀμφιτρίτας R. 194. οἷς ἐμ' εὑρήσεις μέγαν R. 441. τὸ μηδὲν ἄλγος ἐς μέγ' οἴσετε R. 639. ἐν ὅρκῳ μέγαν R. 652. τίνα δ' ἀκμὴν ἥβης ἔχων; Μέγας R. 742. μέγας ἐν τούτοις θεὸς R. 871. καὶ μὴν μέγας γ' ὀφθαλμὸς οἱ πατρὸς τάφοι. Μέγας, ξυνίημι R. 987. κᾆθ' ὧδ' ἀπ' ἄλλης χειρὸς ἔστερξεν μέγα; R. 1023. φρονεῖ γὰρ ὡς γυνὴ μέγα R. 1078. οἱ δὲ συγγενεῖς μῆνές με μικρὸν καὶ μέγαν διώρισαν R. 1083. ταῖς μεγάλαις ἐν Θήβαις R. 1203. ὡς ἂν προσαρκῶν σμικρὰ κερδάνῃ μέγα C. 72. ἐπὶ σμικροῖς μέγας ὥρμουν C. 148. τῇδε τῇ πόλει μέγαν σωτῆρα C. 459. μέγα δώρημα C. 647. μεγάλαιν θεαῖν στεφάνωμα C. 683. ἐν τᾷ μεγάλᾳ Δωρίδι νάσῳ C. 696. δῶρον τοῦ μεγάλου δαίμονος C. 703. πόλιν μέγα σθένουσαν C. 733. τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν C. 880. μάλα μέγας κτύπος C. 1462. μέγ' ἄρα πέλαγος ἐλάχετόν τι C. 1745. μεγάλης γλώσσης κόμπους A. 129. μέγας Ἄρης A. 139. μέγας αἰθὴρ A. 420. οὐ γὰρ ἐκπέλει φρονεῖν μέγα A. 479. τῶν μεγάλων πάρεδρος θεσμῶν A. 798. φθιμένᾳ μέγ' ἀκοῦσαι A. 836. πλούτει μέγα A. 1168. μεγάλοι δὲ λόγοι μεγάλας πληγὰς ἀποτίσαντες A. 1350. μέγα τι σθένος ἁ Κύπρις ἐκφέρεται T. 479. κακὸν μέγα T. 669. μεγάλαν ἄταν T. 852. μεγάλαν ἔτεκεν ἐριννὺν T. 896. μεγάλοι θόρυβοι Aj. 142. τῶν μεγάλων ψυχῶν ἱεὶς Aj. 154. σμικροὶ μεγάλων χωρὶς Aj. 158. μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἂν, καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων Aj. 160. οἱ μεγάλοι βασιλῆς Aj. 189. μέγαν ἱπποδέτην ῥυτῆρα Aj. 241. μέγα πένθος Aj. 617. πάνθ' ὁ μέγας χρόνος μαραίνει Aj. 714. μεγάλα νείκη Aj. 718. μέγαν κώκυτον Aj. 851. μέγας ἦν ἄρχων χρόνος πημάτων Aj. 933. κἂν σῶμα γεννήσῃ μέγα Aj. 1077. νῦν δ' ἐγὼ μέγ' αὖ φρονῶ Aj. 1088. μέγ' ἄν τι κομπάσειας Aj. 1122. ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστι φρονεῖν Aj. 1125. μέγας χειμὼν Aj. 1148. μεγάλης ἔριδος ἀγὼν Aj. 1163. αἰθέρα δῦναι μέγαν Aj. 1193. ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά; Aj. 1235. μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται Aj. 1253. ἐφυβρίσαι μέγα Aj. 1385. ἔχθος ἐχθήρας μέγα P. 59. μέγαν χόλον P. 327. μέγα θάλλοντες ἐν Ἀργείων στρατῷ P. 419. ἃ ᾿ν λέγῃς δὲ, μὴ φώνει μέγα P. 574. εὐδαίμων ἀνύσει καὶ μέγας ἐκ κείνων P. 721. μῶν τί μοι μέγα πάρεστε πρὸς κακοῖσι πέμποντες κακόν; P. 1265. ἡ μεγάλη μοῖρα

P. 1466. ἐστὶ μέγας ἐν οὐρανῷ Ζεὺς E. 174. θεὸς ὁ μέγας Ὀλύμπιος Ζεὺς E. 209. φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα E. 320. πρᾶγμα πορσύνων μέγα E. 670. μηδὲν μέγ' αὔσῃς E. 830. μέγ' εὑρεῖν κέρδος E. 1305. ὄλβον μέγαν Alet. VI. 1. κράτος μέγα Aloadæ III. μέγας σοὶ τοῦδ' ἐγὼ φόβου μόχλος I. T. XLI. μείζω χάριν R. 764. τῷ γὰρ ἂν καὶ μείζονι λέξαιμ' ἂν ἢ σοί; R. 772. τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν R. 1293. τίς ὁ πηδήσας μείζονα δαίμων τῶν μακίστων, πρὸς σῇ δυσδαίμονι μοίρᾳ R. 1301. μείζω κολαστὴν C. 439. μεῖζον ἢ κατ' ἄνθρωπων νοσεῖς C. 598. μεῖζον ῥύσιον C. 858. μείζον' ἀντὶ τῆς αὑτοῦ πάτρας φίλον νομίζει A. 183. θέλεις τι μεῖζον ἢ κατακτεῖναί με; A. 497. ἄξιος μείζων φέρεσθαι A. 638. τί γὰρ γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος κακός; A. 652. ἀναρχίας γὰρ μεῖζον οὐκ ἔστιν κακὸν A. 672. τί γὰρ πατρὸς θάλλοντος εὐκλείας τέκνοις ἄγαλμα μεῖζον; A. 704. φρονείτω μεῖζον ἢ κατ' ἄνδρα A. 768. οὔτε μείζον' οὔτ' ἐλάσσονα T. 324. σοὶ μὲν νέμοιμ' ἂν τῇσδε καὶ μείζω χάριν Aj. 1371. νόσος τέθηλε κἀπὶ μεῖζον ἔρχεται P. 259. Αἴας ὁ μείζων P. 411. ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει P. 456. οὐκ ἄλλοθεν ἔχει τυχᾶ τᾶδ' ἀπὸ μείζονος P. 1098. εἰ γὰρ τῶνδέ μοι μεῖζόν τι λέξεις E. 377. ἥδε γὰρ μείζων βλάβη E. 784. μεῖζον νόσου φάρμακον Tereus IV. 4. χάρμα μεῖζον λαβεῖν Tympan. I. 1. μεῖζον κακὸν οὐδὲν κακῆς γυναικὸς Phædr. V. 1. ἐς μέγιστον ζημία φέρει R. 526. ἀστῶν μέγιστος τῶν ἐκεῖ R. 776. κάκ' εἰς μέγιστ' ἔσωσεν R. 1180. τὰ μέγιστ' ἐτιμάθης R. 1202. γῆς μέγιστα τῇσδ' ἀεὶ τιμώμενοι R. 1223. ὦ μεγίστης Παλλάδος καλούμεναι (Ἀθῆναι) C. 107. τούτων ἀκοῦσαι βούλομαι, μέγιστα γὰρ C. 485. ὁ τᾶδε θάλλει μέγιστα χώρᾳ C. 700. αὔχημα μέγιστον C. 710. ὃς μέγιστον ἴσχυσεν στρατοῦ Aj. 502. ἔργα χεροῖν μεγίστας ἀρετᾶς Aj. 618. εὐνομίᾳ σέβων μεγίστᾳ Aj. 713. φίλον μέγιστον Aj. 1331. χαῖρ' ὡς μέγιστα, χαῖρε P. 462. μέγιστος αὐτοῖς τυγχάνει δορυξένων E. 46. καιρὸς μέγιστος παντός ἐστ' ἐπιστάτης ἔργου E. 76. κακὸν μέγιστον E. 374. μέγιστον σῶμα E. 758. μέγιστα πάντων ὧν ὅπωπ' ἐγὼ κακῶν E. 763. ἃ δὲ μέγιστ' ἔβλαστε νόμιμα E. 1095. ἐν κακοῖς μεγίστοις E. 1330. μεγίστους καὶ σοφωτάτους φρενὶ Ajax Locr. IV. 1. συὸς μέγιστον χρῆμα Meleager I. 1. μέγα κλέος I. T. XX.

Μέδειν. μέδεις δὲ Δηοῦς ἐν κόλποις A. 1119. Αἰγαίου μέδεις πρωνὸς Laoc. II. 2.

Μεθαρμόζειν. εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον E. 31.

Μεθέπεσθαι. οὔ σοι μὴ μεθέψομαι ποτὲ E. 1052.

Μέθη. ὑπερπλησθεὶς μέθης; R. 779.

Μεθιέναι. καὶ δὴ μεθίημι P. 818. ὡς μεθήσων μήποτε P. 935. ἄτρωτον οὐ μεθῆκ' ἂν C. 906. χερσὶ μεθῆκα τοὺς ἀλάστορας Aj. 373. μή, πρὸς θεῶν μεθῇς βέλος, Μέθες με, πρὸς θεῶν χεῖρα, φίλτατον τέκνον. Οὐκ ἂν μεθείην P. 130. μέθες χεροῖν τὴν παῖδα C. 838. μέθες, μέθες με. Ποῖ μεθῶ; Μέθες ποτὲ P. 816. ταῦτα μὲν μέθες E. 448. τοῖς ἐχθροῖσιν ἐμπάλιν μέθες E. 647. μέθες τόδ' ἄγγος νῦν E. 1205. θοὸν εἰρεσίας ζυγὸν ποντοπόρῳ νηῒ μεθεῖναι Aj. 250. κείνοις μεθεῖναι ταῦτα P. 772. ἅ γ' ἔλαβες βουλαῖς ἐμαῖς πάλιν μεθεῖναι P. 1248. ταφανῆ μεθέντας R 131. τὸν μεθέντα τὸν λόγον R. 784. μεθεὶς τὴν παῖδ' ἐν Ἅιδου τήνδε νυμφεύειν τινὶ A. 653. τάσδε φροντίδας μεθεὶς Aj. 484. τἀμά μοι μεθεὶς ὅπλα P. 973. μεθεῖσά μοι λέγειν ἃ χρήζοιμι E. 628. τὸ κόσμιον μεθεῖσα E. 872. μέθεσθέ μ' ἤδη, χαίρετόν τε C. 1437. μή μ' ἀποστερήσῃς τῶν σῶν προσώπων ἡδονὴν μεθέσθαι E. 1277. ἕκαστος ἐκμαθεῖν θέλων οὐκ ἂν μεθεῖτο T. 197.

Μεθιστάναι. σὲ δαίμονες νόσου μεταστήσειαν P. 463. μετάσταθ', ἀπόβαθι C. 163. ὅταν μεταστῇ Tynd. I. 6. μεταστὰς οἷος Ἀτρειδῶν δίχα Aj. 750.

Μέθυ. μηδὲ προσφέρειν μέθυ C. 481.

Μεθύειν. τὸ γὰρ μεθύειν πημονῆς λυτήριον I. T. XXXIX.

Μεθύστερος. ὧν μεθύστερον, ὅτ' οὐκ ἔτ' ἀρκεῖ, τὴν μάθησιν ἄρνυμαι T. 712.

οὐκ ἔτι χρησόμενος τὸ μεθύστερον P. 1133.

Μειλίχιος. κρατὴρ μειλιχίων ποτῶν C. 159.

Μειόνως. εἰ μὴ δοκῶ τι μειόνως ἔχειν C. 104.

Μείρειν. τοιαῦτ' ἔφραζε πρὸς θεῶν εἱμαρμένα τῶν Ἡρακλείων ἐκτελευτᾶσθαι πόνων T. 169.

Μείων. τοῦ σμικροῦ δ' ἔτι μεῖον φέροντα C. 6. χρόνῳ μείων γεγὼς C. 374. φρούδον γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος Aj. 264. ἔργα μείω χειρὸς ἀρκέσας Aj. 439. μείων βλάβη Aloadæ IX. 2.

Μελαγχαίτης. μελαγχαίτη κέντρα T. 839.

Μελάγχολος. μελαγχόλους ἰοὺς T. 573.

Μέλαθρον. ὦ μέλαθρον ξύμφρουρον ἐμοὶ P. 1453. στὰς ὑπὲρ μελάθρων A. 117. μολεῖ δεινὸς ὁδίτης τῶνδ' ἐκ μελάθρων P. 147. σκῦλά τ' ἐς μέλαθρα σὰ πέμψεις P. 1428. σὲ θεὸς ἐπῶρσεν ἡμέτερα πρὸς μέλαθρα E. 1268.

Μελαίνειν. μελανθὲν αἷμα Aj. 919.

Μελαμβαθής. μελαμβαθεὶς λίμνας Polyx. II. 1.

Μελάμφυλλος. γῆ μελάμφυλλος C. 482.

Μέλας. μέλας Ἅιδης R. 29. μέλας ὄμβρος αἵματος R. 1278. λευκὴν ἐγὼ τήνδ' ἐκ μελαίνης ἀμφιβάλλομαι τρίχα A. 1093. ἰὸς μέλας T. 719. μέλαν μένος Aj. 1412. μέλαιν' αἱμοῤῥαγὴς φλὲψ P. 824. μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη E. 19.

Μέλειν. ᾧ τάδ' ἐκπράξαι μέλει R. 377. οὔ μοι μέλει R. 443. ὅτῳ κράτος μέλει A. 873. μέλει γὰρ τῶνδ' ὅτῳ χρὴ μέλειν A. 1333. νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι Aj. 701. τοῦδέ σοι μέλειν ἐφίεθ' ἀνὴρ κεῖνος, ὥσπερ οὖν μέλει Aj. 991. θεοῖσιν εἰ δίκης μέλει, ἔξοιδα δ' ὡς μέλει γε P. 1037. καὶ γὰρ ἐμοὶ τοῦτο μέλει P. 1121. σημήνατε μέλειν μὲν ἡμῶν Aj. 689. πατρὸς λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν E. 342. μάλιστά σοὶ μέλειν οἶμαι E. 1446. ἀλλὰ τοῖσδ' ἔσται μέλον C. 653. μέλον πάλαι μέλημα P. 150. οἶμαί τι κἀκείνῳ μέλον πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα E. 460. τὰ λοιπά μου μέλον δικαίως C. 1138. τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρέος E. 74. τἀνθάδ' ἂν μέλοιτ' ἐμοὶ E. 1436. ταῖν μοι μέλεσθαι R. 1466. τάφου μεληθεὶς τῷδε Aj. 1184.

Μέλεος. μέλεος μελέῳ ποδὶ χηρεύων R. 479. ἐμὲ τὰν μελέαν οἰκτείρατε C. 241. κατατακόμενοι μέλεοι μελέαν πάθαν A. 977. ὦ μέλεος A. 1319. ᾤ μοι μελέῳ A. 1341. ᾤ μοι ἐγὼ σοῦ μέλεος T. 974. μελέοις Ἀτρείδαις Aj. 621. ὦ μελέα ψυχὰ P. 713. τοῦ ποτε τεύξομαι σιτονόμου μέλεος; P. 1091. τὰν ἐμὰν μελέου τροφὰν P. 1126. μελέου βίου βραχὺν ἰσθμὸν Ach. Conv. I. 4.

Μελετᾶν. ἀστοῖς ἴσα χρὴ μελετᾷν C. 171.

Μελέτη. θεῶν μελέτη P. 196.

Μελέτωρ. ἐφάνη γὰρ μελέτωρ ἀμφὶ τὸν ἐν πένθει E. 846.

Μέλημα. μέλον πάλαι μέλημα P. 150.

Μέλισσα. ὕδατος, μελίσσης (πλῆσον) C. 481. ξουθῆς μελίσσης κηρόπλαστον ὄργανον Polyid. IV. 5.

Μέλλειν. τί μέλλεις κομίζειν δόμων τῶνδ' ἔσω; R. 678. μακρὰ μέλλετε C. 219. ἔρδουσιν, ἢ μέλλουσιν; C. 1074. τί μέλλομεν χωρεῖν; C. 1627. πάνθ' ὁπόσ' ἂν μέλλω πράσσειν C. 1774. τί δῆτα μέλλεις; A. 499. ἄγομαι δὴ 'γὼ, κοὐκ ἔτι μέλλω A. 939. τελευτὴν τοῦ βίου μέλλει τελεῖν T. 79. τί μέλλει μὴ οὐ παρουσίαν ἔχειν; Aj. 540. ἀφ' ὧν μηδὲν δίκαιον ἐς τέλος μέλλει ποιεῖν P. 409. ὅποι ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν P. 483. τί μέλλετ' Ἀρτακεῖς τε καὶ Περκώσιοι; I. T. XCVII. 1. μή νῦν χρόνιοι μέλλετε πράσσειν P. 1449. οὐδ' εἴ μοι τὰ σὰ μέλλοι τις οἴσειν δῶρα E. 360. ἐπιστρατεύειν φασὶν ἢ μέλλειν ἔτι; T. 75. κοινὰ δ', ἔχειν τε, καὶ μέλλειν T. 953. τὸ μὲν μέλλειν κακὸν ἐν τοῖς τοιούτοις ἔστιν E. 1337. ἄπορος ἐπ' οὐδὲν ἔρχεται τὸ μέλλον A. 361. τό τ' ἔπειτα καὶ τὸ μέλλον, καὶ τὸ πρὶν ἐπαρκέσει A. 611. μέλλοντα ταῦτα A. 1334. τεύχειν σφαγὰς μέλλοντα T. 758. τὰ μὲν οὖν μέλλοντ' οὐδεὶς ἐφορᾷ T. 1272. οὐδεὶς μάντις τῶν μελλόντων Aj. 1420. ταῦτ' ἐπίστω δρώμεν', οὐ μέλλοντ' ἔτι P. 567. ἔστω τὸ μέλλον P. 1254. ταυτὸν τόδ' ὄψει δρῶντα, κοὐ μέλλοντ' ἔτι P. 1256. τοῦ κασιγνήτου τί φῄς, ἥξοντος, ἢ μέλλοντος; E. 318. θνήσκειν ὁ μέλλων E. 1486. ὄντα καὶ

μέλλοντα κακὰ E. 1498. *μελλόντων ταμίας Ζεὺς* Tereus V. 3. *ὀρθοῖς ἔμελλον ὄμμασιν τούτους ὁρᾶν;* R. 1385. *ἤδη· τί δ' οὐκ ἔμελλον; ἐμφανῆ γὰρ ἦν* A. 448. *εἰ ζῶν Ἀχιλλεὺς τῶν ὅπλων τῶν ὧν πέρι κρίνειν ἔμελλε* Aj. 443. *ἔμελλες τάλας, ἔμελλες χρόνῳ ἐξανύσειν μοῖραν* Aj. 925. *ἔμελλέ σ' Ἕκτωρ, καὶ θανὼν, ἀποφθίσειν* Aj. 1027. *ὃς εὐλόφου κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν* Aj. 1287. *οὐκ εἶδον αὐτὸν, ᾐσθόμην δ' ἔτ' ὄντα νιν. Ἔμελλε* P. 446. *οὐκ ἔμελλον οὐδέποτε λείψειν* P. 1083. *ἔμελλε τῶνδ' ἐμοὶ δώσειν δίκην* E. 538.

Μελλόγαμος. *μελλογάμου τάλιδος* A. 629.

Μελλόνυμφος. *τελείαν ψῆφον τῆς μελλονύμφου* A. 633. *ὁ μελλόνυμφος* T. 207.

Μέλος. *ἄτης τῆσδ' ἐπίσκοπον μέλος* Aj. 976. *κροτητὰ πηκτίδων μέλη* Thamyr. I. 1.

Μεμπτός. *οὐδὲν σὺ μεμπτὸν ἐνθάδ' ὧν ἐρεῖς ἐμοὶ* C. 1036. *εἴ τι τῷ 'μῷ τἀνδρὶ, τῇδε τῇ νόσῳ ληφθέντι, μεμπτός εἰμι, κάρτα μαίνομαι* T. 446.

Μέμφεσθαι. *οὐ μέμφομαί σε* I. T. LXVIII. *οὐ μέμψει χρόνῳ* T. 470. *μεμφομένων ἂν καταφαίην* R. 506. *ὀργὴν ἐμέμψω τὴν ἐμὴν* R. 337. *οὔτ' αἰνέσαιμ' ἂν, οὔτε μεμψαίμην* A. 1157. *μή ποθ' ὕστερον παθοῦσα μέμψῃ* E. 374.

Μέμψις. *κοὐκ ἔσθ' ὅτου ὀργὴν ἔχοις ἂν, οὐδὲ μέμψιν εἰς ἐμὲ* P. 1309. *δισσὰ γὰρ φυλάσσεται, φίλων τε μέμψιν, κεἰς θεοὺς ἁμαρτάνειν* Oenom. I. 3.

Μένειν. *οὐδ', ὃς ἂν βλαστῇ, μένει νοῦς τοῖς κακῶς πράσσουσιν* A. 563. *μένει γὰρ οὔτ' αἰόλα νὺξ* T. 131. *οἵαν σε μένει πυθέσθαι παιδὸς ἄταν* Aj. 641. *οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταυτῷ μένει* Alet. VI. 3. *αὐτοῦ μέν', οὕπερ κἀφάνης* C. 77. *μέν' ὡς κυρεῖς ἔχων. Μένοιμ' ἂν* Aj. 87. *ἅλις ἔμοιγε φαίνεται, ἔνθ' ἔληξ', αὐτοῦ μένειν* R. 686. *μένειν δίκαιον κἀγαθὸν παραστάτην θαρσοίην* A. 666. *εἴ με χρὴ μένειν* T. 175. *τοιαύτη δι' αἰῶνος μένειν* E. 1024. *ἐγγὺς Ἕκτωρ ἐστὶν, οὐ μένειν καλὸν* Ach. Conv. VII. 4. *μένοντες ἐμπέδοις φρονήμασιν* A. 169. *ἔνδον ἀρκείτω μένων* Aj. 76. *ἐμοὶ μὲν ἀρκεῖ γ' οὗτος ἐν δόμοις μένων* Aj. 80. *σὺ μὲν μένων νιν ἐνθάδ' ἐκδέχου* P. 123. *δέδοκταί σοί μένοντι καρτερεῖν* P. 1274. *αὐτὸς ἐν Σκύρῳ μένων* P. 1368. *οὐ μενεῖ τοιάσδ' ἀρὰς* R. 295. *τλῆμον, μενεῖς αὖ;* A. 229. *εἰ δὲ μὴ, μενῶ σ' ἐγὼ ἀραῖος* T. 1203. *θεῶν ἀρὰ μενεῖ σ' ἀπιστήσαντα* T. 1242. *ποῖ μολὼν μενῶ;* Aj. 404. *προσφιλὴς μενεῖ χάρις* P. 558. *θαρσεῖ, μενοῦμεν, Ἦ μενεῖς;* P. 810. *τί μενοῦμεν πράσσειν;* P. 836. *ποῖ γὰρ μενεῖς ῥάθυμος;* E. 958. *μενῶν δόμοις ἀραῖος* R. 1291. *ἔμβαλλε χειρὸς πίστιν. Ἐμβάλλω μενεῖν* P. 813. *μεῖνον* R. 437. *μείνατ', εἰ τούτῳ δοκεῖ* P. 1075. *μείνατε, πρὸς θεῶν* P. 1184. *θέλεις μείνωμεν αὐτοῦ;* E. 81. *ὡς οὔτ' ἂν ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει, μείνειεν* C. 426. *τλῆναί σ' ἐλεινῶς ὧδε τἀμὰ πήματα μεῖναι* P. 871.

Μενέλαος. *τίς δ' ἐστί;* Μενέλαος Aj. 1045. Μενέλαε, *μὴ θανοῦσιν ὑβριστὴς γένῃ* Aj. 1091. *ὦ δισσοὶ στρατηλάται*, Ἀγάμεμνον, *ὦ* Μενέλαε P. 794. *ἀντ' ἀδελφοῦ* Μενέλεω E. 537.

Μενοικεύς. Μενοικέως *τε παῖδα* R. 69. *παῖ* Μενοικέως R. 85.

Μενοινᾶν. *τί ποτε μενοινᾷ;* Aj. 341.

Μένος. *μανίας μένος* T. 960. *μηδὲν δεινὸν ἐξάρῃς μένος* Aj. 1066. *θερμαὶ σύριγγες ἄνω φυσῶσι μέλαν μένος* Aj. 1413. *ὁρῶ μένος πνέουσαν* E. 610.

Μέριμνα. *ποίας μερίμνης τοῦθ' ὑποστραφὲν λέγεις;* R. 728. *τῶν μὲν ἀρσένων, μή μοι,* Κρέων, *πρόσθῃ μέριμναν* R. 1460. *ἔψαυσας ἀλγεινοτάτας ἐμοὶ μερίμνας* A. 858.

Μεριμνᾶν. *ἔργον μεριμνῶν ποῖον;* R. 1124.

Μερίμνημα. *ἀνήκεστα μεριμνήματ' ἔχων* P. 187.

Μερόπη. *μήτηρ δὲ* Μερόπη Δωρὶς R. 775. *ποίας δὲ καὶ γυναικὸς ἐκφοβεῖσθ' ὕπερ;* Μερόπης, *γεραιὲ* R. 989.

Μέρος. *δείματος μέρος* R. 294. *πλὴν ὅσον τὸ σὸν μέρος* R. 1509. *ὅστις τοῦ πλέονος μέρους χρῄζει* C. 1211. *οὐκ ἂν ἦν, τὸ σὸν μέρος* C. 1366. *ἔχετον κοινοῦ θανάτου μέρος ἄμφω* A. 147. *οὔτε τοῦ γάμου μέρος λαχοῦσαν* A. 917. *οὕτω γὰρ ἤδη καὶ δοκῶ, τὸ σὸν μέρος;* A. 1062. *λαβεῖν ἐν νυκτὶ φροντίδων μέρος* T. 149. *οὐ καμεῖ τοὐμὸν μέρος* T. 1217. *ἡμέρας μέρος βραχὺ* P. 83. *βορᾶς μέρος* P. 307.

τοὐμὸν ἐν σμικρῷ μέρει ποιούμενοι P. 498. τύμβον πατρῴου κοινὸν εἰληχὼς μέρος E. 1135.

Μεσόμφαλος. μεσόμφαλα γᾶς μαντεῖα R. 480.

Μέσος. μέσον κάρα R. 808. μέσης ἀπήνης R. 812. τὰ λοίσθι' αἰτεῖ τοῦ βίου, τὰ δ' ἐν μέσῳ ἢ λῆστιν ἴσχεις, ἢ δι' οὐδενὸς ποιεῖ C. 583. ἀνὰ μέσσαν ἀκτῖνα C. 1247. ἀφ' οὗ μέσος στὰς, τοῦ τε Θορικίου πέτρου C. 1595. ἐν αἰθέρι μέσῳ A. 416. ἀμφὶ μέσσῃ περιπετῆ '(κόρᾳ) A. 1223. μέσσον ἔγχος A. 1236. πρὸς μέσῃ Τραχινίων ἀγορᾷ T. 371. εὔλεκτρος ἐν μέσῳ Κύπρις ῥαβδονομεῖ T. 515. ἡνίκ' ἦν μέσῳ πόρῳ T. 564. ἐς μέσην φλόγα T. 698. μέσον κρατὸς διασπαρέντος T. 783. ἐν μέσῳ σκάφει θέντες νιν T. 805. ἐν μέσοις βοτοῖς θακεῖ Aj. 324. μέσον προσμολὼν στρατήγιον Aj. 721. κλῆρον ἐς μέσον καθεὶς Aj. 1285. ἔδειξ' Ἀχαιοῖς ἐς μέσον P. 609. ἐν Ἀργείοις μέσοις ἄγοντα δεῖξαι P. 630. ἄξονος μέσας χνόας E. 745. ἐς μέσον δρόμον E. 748. τοὺς ἐν μέσῳ λόγους E. 1364. ἐν μέσοις ἀρκυστάτοις πέπτωκα E. 1476. ἦμαρ μέσσον Thyest. VI. 5. μέσην τράπεζαν ἄμφι Tyro VIII. 1. διχοστατῶν λόγος σύγκολλά τ' ἀμφοῖν ἐς μέσον τεκταίνεται I. T. LXXIV. 4.

Μεστός. μεστὸς ἦν θυμούμενος C. 768.

Μεστοῦν. πρὶν ὀργῆς κἀμὲ μεστῶσαι λέγων A. 280.

Μετά. πλείονων μέτα R. 247. μετ' ἄλλου δρῶντος ἂν τλαίην R. 602. μεθ' ἡμῶν δύσμορος πλανωμένη C. 347. ἐμοῦ στείχειν μέτα C. 640. οἴκτου μέτα C. 1636. πολλῶν μεθ' ὅπλων A. 115. ἐμοῦ γ' ἂν ἡδέως δρῴης μέτα A. 70. μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἂν ὀρθοῖτο Aj. 160. οὐκ ἂν τάδ' ἔστη τῇδε, μὴ θεῶν μέτα Aj. 950. λασίων μετὰ θηρῶν P. 184. στέγῃ πυρὸς μέτα P. 298. μετὰ ζώντων ὅτ' ἦν P. 1312. μεθ' οὗ πατέρα τὸν ἀμὸν πρόσθεν ἐξαπώλεσας E. 587. εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα E. 700. κραταιαῖς μετὰ χερσὶ πτανῶν ἀφ' ὅπλων φορβὰν προσφέρειν P. 1110. ἦλθόν με νηῒ ποικιλοστόλῳ μέτα P. 343. μετὰ κόπον καθημένοις Naupl. VI. 3.

Μεταβάλλειν. τίς ἀξίαν μεταβάλοιτ' ἂν σιγὰν λόγων; E. 1261.

Μεταγιγνώσκειν. ἔνεστι καὶ μεταγνῶναι πάλιν P. 1270. ἐξ ἀέλπτων Αἴας μετεγνώσθη θυμὸν Ἀτρείδαις μεγάλων τε νεικέων Aj. 716.

Μετάγνοια. ὅρα μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς E. 581.

Μετάδρομος. κύνες μετάδρομοι κακῶν πανουργημάτων E. 1387.

Μεταίτιος. τόνδε γὰρ μεταίτιον ἔφασκεν εἶναι τοῦδε τοῦ πάθους T. 260. τῇ μεταιτίᾳ τοῦ μηδὲν αἰσχροῦ T. 447. ἥ μοι μητρὶ μὲν θανεῖν μόνη μεταίτιος T. 1236.

Μεταλλαγή. ἐν μεταλλαγᾷ πολυμηχάνου ἀνδρὸς ἐρέσσει P. 1135.

Μεταλλάσσειν. τὰν ἀνθρώπου ζωὰν ἄγαι πημάτων πάσαις μεταλλάσσουσιν ὥραις Tereus IX. πότμος μεταλλάσσει φύσιν I. T. LVI. 2. πόνου μεταλλαχθέντος I. T. XVII.

Μετανιστάναι. μὴ δῆτ' ἀδικηθῶ σοὶ πιστεύσας καὶ μεταναστὰς C. 175.

Μεταξύ. τὰ δὲ μεταξὺ τούτου μηδαμῶς γίγνου κακὸς C. 290. μή μοι μεταξὺ προσδεήσειεν Herc. II. 2.

Μετάρσιος. μετάρσιοι χολαὶ διεσπείροντο A. 1009. ἐσπᾶτο γὰρ πέδονδε καὶ μετάρσιος T. 788.

Μετασπᾶν. πειρᾷ μετασπᾶν C. 774.

Μετάστασις. εἶκε, θυμῷ καὶ μετάστασιν δίδου A. 718.

Μετατίθεσθαι. τὸ κείνων κακὸν τῷδε κέρδος μετατιθέμενος P. 514.

Μεταφέρειν. πάλιν γνώμην μετοίσεις P. 962.

Μετεῖναι. καμοὶ πόλεως μέτεστι R. 630. τῆς ἐς αὔριον οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας C. 568. οὐδὲν αὐτῷ τῶν ἐμῶν μ' εἴργειν μέτα A. 48. ὧν οὔτε σοι μέτεστιν οὔτε τοῖς ἄνω θεοῖσιν A. 1072. οὐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν E. 536.

Μετεῖναι. εἰ γάρ μ' ἀπώσει, ξὺν κακῷ μέτει πάλιν E. 430. μέτεισιν, οὐ μακροῦ χρόνου E. 477.

Μετέχειν. πάντων τῶνδ' ἀεὶ μετειχέτην R. 1465. ξὺν σοὶ μετεῖχον τῶν ἴσων E. 1168. ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ πόνου; P. 248. ἀκερδῆ χάριν μετάσχοιμί πως C. 1484. ἦ σὺ τοῦδε τοῦ τάφου φήσεις μετασχεῖν; A. 535.

θρώπων σθένει A. 1044. τὸ γὰρ καλῶς πεφυκὸς οὔ τις ἂν μιάνειεν λόγος Alet. IV. 3. αἵματι πεσεῖ μιανθεὶς C. 1374.

Μιαίφονος. μιαιφόνων γάμων ἁμιλλήματα E. 493.

Μιαρός. ὦ μιαρὸν ἦθος A. 746. ἡ δ' αὖ μιαρὰ βρύκει T. 988.

Μίασμα. μίασμα χώρας R. 97. ὡς μιάσματος τοῦδ' ἡμὶν ὄντος R. 241. μίασμα τοῦ τεθνηκότος R. 313. ἦ μὴ μίασμα τῶν φυτευσάντων λάβῃς; R. 1012. αὐτόχειρι σὺν μιάσματι A. 172. ὅπως μίασμα πᾶσ' ὑπεκφύγῃ πόλις A. 776. τρέσας μίασμα τοῦτο A. 1042.

Μιάστωρ. ὡς ὄντι γῆς τῆσδ' ἀνοσίῳ μιάστορι R. 353. τῷ μιάστορι ξύνεστι E. 276. τρέφειν μιάστορα ἐπηγιάσω E. 603.

Μικρός. οἱ δὲ συγγενεῖς μῆνές με μικρὸν καὶ μέγαν διώρισαν R. 1083. ἔγκλημα μικρὸν T. 361. μικρὰ λείψανα E. 1113. ὄλβον ἢ μέγαν ἢ μικρὸν Alet. VI. 2. μικροῦ ἀγῶνος I. T. XX. 2.

Μίμνειν. μίμνομεν μιᾶς ὑπὸ χλαίνης T. 539. Ἰδαίᾳ μίμνω ποίᾳ Aj. 601. ἕκηλος αὐτοῦ μίμνε C. 1039. μίμνε T. 391. θαρσῶν δὲ μίμνε Aj. 68. εἰ χρή σε μίμνειν C. 80. εἰ δ' ἐνθάδ' ἡδὺ τῷ ξένῳ μίμνειν C. 638. ἐᾶτε μίμνειν P. 1055. μίμνων τήνδε κατ' Ἰδαίαν χθόνα Polyx. I.

Μιμνήσκειν. ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνήμεθα R. 49. μέμνησ' ὁποίῳ φωτὶ τὴν χάριν δίδως Aj. 1354. μου μέμνησθε R. 1401. μέμνησθέ μου θανόντος C. 1555. βούλου μηδὲ μεμνῆσθαι μάτην R. 1057. ἔργων τῶνδε μεμνῆσθαι χρεὼν E. 1252. ὥσπερ ἂν ζῶ σοῦ φονέως μεμνημένος C. 1361. πατρῴων ὁρκίων μεμνημένος T. 1225. κοὐδ' ἂν ἐμνήσθην ποτὲ E. 373. μὴ μνησθῇς ἔτι Τροίας P. 1400. ἐμνήσατ' οὖν ἐμοῦ τι; R. 564.

Μινύθειν. οὐδ' ἄϋπνοι κρῆναι μινύθουσι C. 686.

Μινύρεσθαι. ἔνθα λιγεῖα μινύρεται θαμίζουσα μάλιστ' ἀηδὼν C. 671.

Μίσγειν. μίσγει δ' ὕδασιν τοῖς Ἀχελώου Inach. XI. 4. ἀνδρῶν τάχ' ἐπιστροφαὶ μίξουσιν Ἄρη C. 1046. τί γὰρ βροτῶν ἂν ξὺν κακοῖς μεμιγμένων θνήσκειν ὁ μέλλων τοῦ χρόνου κέρδος φέροι E. 1486. ὡς μητρὶ μὲν χρείη με μιχθῆναι R. 791. μ' εἶπε Λοξίας χρῆναι μιγῆναι μητρὶ τῇ 'μαυτοῦ R. 995.

Μισεῖν. μισῶ γε μέντοι χὤταν ἐν κακοῖσί τις ἁλοὺς, ἔπειτα τοῦτο καλλύνειν θέλῃ A. 495. μισεῖ δέ μ' Ἑλλήνων στρατὸς Aj. 458. σὺ δ' ἡ μισοῦσα μισεῖς μεν λόγῳ E. 357. μισῶ γὰρ, ὅστις τάφανῆ περισκοπεῖ I. T. XC. μηδέ σ' ἡ βία νικησάτω τοσόνδε μισεῖν Aj. 1335. οὐδ' ἐὰν μισῶν κυρῇς Aj. 1345. μισοῦντ' ἐμίσει Aj. 1134. ἐμισοῦν ἡνίκ' ἦν μισεῖν καλὸν Aj. 1347. ξένων ἐμοὶ μάλιστα μισηθέντος Aj. 818.

Μίσημα. ὦ δύσθεον μίσημα E. 289.

Μισθαρνεῖν. μισθαρνοῦντες ἤνυσαν τάδε A. 302.

Μισθός. καὶ μὴν ὁ μισθός γ' οὗτος (scil. θανεῖν) A. 221. παρηγμένους μισθοῖσι A. 294. Εὔηνον βροτοὺς μισθοῦ 'πόρευε χερσὶν T. 560.

Μῖσος. τὸν σφῷν τὸ δεινὸν μῖσος ἐμβεβληκότα C. 1392. ἄγετε τὸ μῖσος A. 760. ὦ μῖσος P. 991. τὸ τούτων μῖσος ἐκδείξειας ἂν E. 348. κακῶς πάσχοντι μῖσος ὧν τέκῃ προσγίγνεται E. 771. μῖσος παλαιὸν ἐντέτηκ' ἐμοὶ E. 1311.

Μιτώδης. βρόχῳ μιτώδει A. 1222.

Μνεία. βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις; E. 392.

Μνῆμα. μνῆμ' ἐπίσημον διὰ χειρὸς ἔχων A. 1257. λυγρᾶς μνήματα Τροίας Aj. 1210.

Μνημεῖον. τόξων ἐμῶν μνημεῖα P. 1432. μνημεῖ' Ὀρέστου ταῦτα E. 933. ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ E. 1126.

Μνήμη. οὐχ' ὥστε γ' εἰπεῖν ἐν τάχει μνήμης ὕπο R. 1131. ὅσον γε κἂν ἐμοὶ μνήμης ἔνι R. 1239. μνήμην παλαιῶν σπερμάτων ἔχουσα R. 1247. μνήμη κακῶν R. 1318. δεῖ πόνου μνήμην ἔχειν C. 509. ἀνδρί τοι χρεὼν μνήμην προσεῖναι Aj. 521. μὴ μνήμην ἔχειν φίλων E. 346.

Μνημονεύειν. οὐ μνημονεύεις οὐκέτ' οὐδὲν Aj. 1273. ἦ μνημονεύεις οὖν ἅ σοι παρῄνεσα; P. 121. τὰ χρήστ' ἐμνημόνευσε I. T. C. 9.

Μνήμων. μνήμων Ἐριννὺς Aj. 1391.

Μνῆσις. ἁ δὲ μνᾶσίς γ' εὐποτμόταρος Ach. Conv. I. 3.

Μνηστήρ. μνηστὴρ γὰρ ἦν μοι ποταμὸς T. 9. τοιόνδ' ἐγὼ μνηστῆρα προσδεδεγμένη T. 15.

Μνῆστις. ἴσχε κἀμοῦ μνῆστιν Aj. 520. ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος Aj. 523. οὐδ' ἐπὶ σμικρῶν λόγων ἔτ' ἴσχει μνῆστιν Aj. 1269.

Μογερός. μογερῶν οἴκων E. 93.

Μόγος. μόγος ἔχει C. 1744.

Μοῖρα. οὐ γάρ σε μοῖρα πρός γ' ἐμοῦ πεσεῖν R. 376. ὡς αὐτὸν ἥξει μοῖρα πρὸς παιδὸς θανεῖν R. 713. εἴ μοι ξυνείη φέροντι μοῖρα τὰν εὔσεπτον ἁγνείαν λόγων R. 864. κακά νιν ἕλοιτο μοῖρα R. 887. ἡ μὲν ἡμῶν μοῖρ', ὅποιπερ εἶσ', ἴτω R. 1458. πρὸς σῇ δυσδαίμονι μοίρᾳ R. 1302. οὐ πάνυ μοίρας εὐδαιμονίσαι πρώτης C. 144. ὅτε μοῖρ' ἀνυμέναιος, ἄλυρος, ἄχορος, ἀναπέφηνε C. 1222. πρίν μοι μοῖραν ἐξήκειν βίου A. 896. ἣν τέκνοις νέμοι μοῖραν πατρῴας γῆς T. 163. ἁ δ' ἐρχομένα μοῖρα προφαίνει δολίαν ἄταν T. 852. ἄλλη μητέρα καθεῖλε μοῖρα Aj. 516. ἐξανύσειν μοῖραν ἀπειρεσίων πόνων Aj. 929. ἔπει γὰρ ἔσχε μοῖρ' Ἀχιλλέα θανεῖν P. 331. μοίρᾳ τοῦδ' ἐχθίονι συντυχὼν P. 682. ἔνθ' ἡ μεγάλη μοῖρα κομίζει P. 1466. μοίρᾳ μὲν οὐκ ἐν ἐσθλᾷ βεβῶσαν E. 1093. νῦν σε μοῖρα καθημερία φθίνει E. 1414. στέργειν μοῖραν Thyest. III. 2. βόσκει τοὺς μὲν μοῖρα δυσαμερίας Tereus VIII. 5. οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται I. T. IV. 2. ἐπ' ἐκείνᾳ μοῖραι μακραίωνες ἔσχον A. 987.

Μοιρίδιος. μοιριδία τίσις C. 228. ἀλλ' ἁ μοιριδία τις δύνασις δεινὰ A. 951.

Μοιχός. βαθμοῖς νυμφικοῖς ἐπεστάθη ὁ μοιχὸς I. T. L. 6.

Μολεῖν. ἔς τ' ἐγὼ μόλω τάφου μεληθεὶς τοῦδε Aj. 1184. μόλετε σὺν τάχει, μόλετε C. 885. πῶς ἂν μόλοι; δηθ' ἡμὶν ἐν τάχει πάλιν; R. 765. ἆρ' ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι C. 70. ὅθεν μόλοι πανάμερος T. 662. ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι Aj. 921. μαθήσει, κεῖσ' ὅταν μόλῃς C. 1526. ποῖ μόλωμεν, ὦ Ζεῦ; C. 1748. ἣν μόλῃ Aj. 688. ὁπόταν δὲ μόλῃ δεινὸς ὁδίτης P. 146. ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα P. 479. ἣν δὲ τῷδε τῷ χρόνῳ μόλωσ' ἐκεῖνοι P. 770. πρὶν ἂν τὰ Τροίας πεδί' ἑκὼν αὔτος μόλῃς P. 1332. ὅταν περ οἴκαδ' Αἴγισθος μόλῃ E. 386. εὖτ' ἂν Αἴγισθος μόλῃ E. 627. κἂν ἐλεύθερος μόλῃ I. T. LIV. 2. εἰ τῶνδε φεύγεις οὕνεκ' εἰς οἴκους μολεῖν R. 1010. ὅντιν' ἀρτίως μολεῖν ἐφιέμεσθα R. 1055. τί λέξων ἢ καταρτύσων μολεῖν; C. 71. θελήσας ἄστυ καὶ δόμοις μολεῖν C. 756. στέργω διπλᾶς ἀρωγὰς μολεῖν γᾷ τᾷδε C. 1095. ὕπεικε τὸν κασίγνητον μολεῖν C. 1184. ἔνθεν μ' ὧδ' ἀνέστησεν μολεῖν C. 1286. αὐδᾷ μολεῖν οἱ γῆς ἄνακτα C. 1630. οὐ θεμιτὸν κεῖσ' ἐστὶ μολεῖν C. 1758. δεῦρ' ἐνίκησεν μολεῖν A. 233. μολεῖν καθαρσίῳ ποδὶ A. 1142. πρὶν εἰς Ἅιδου μολεῖν T. 4. οὐδεὶς ἐτόλμα τἀνδρὸς ἀντίον μολεῖν T. 787. θεοῖς σ' ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν Aj. 509. Τεῦκρον σπεύσατ' ἐν τάχει μολεῖν Aj. 804. οὔτε ναυάρχους μολεῖν ἡμᾶς Ἀχαιῶν οὔτε σοῦ διωμόσω Aj. 1232. στείλαντες ἐξ οἴκων μολεῖν P. 60. κέρδος δέ μοι τί τοῦτον ἐς Τροίαν μολεῖν; P. 112. σωτῆρας αὐτοὺς ἠπίους θ' ἡμῖν μολεῖν P. 738. οὐκ ἀφῆκας εἰς Ἅιδου μολεῖν P. 1349. σὺν τάχει μολεῖν E. 872. μή του τόδ' ἀγλάϊσμα πλὴν κείνου μολεῖν E. 908. θεοί μ' ἐπώτρυναν μολεῖν E. 1264. ἐδοξάτην μοι τὰ δύ' ἠπείρω μολεῖν I. T. LXXXIII. ἄστυ Καδμείων μολὼν R. 35. μολὼν ἔπαυσά νιν R. 396. ὡς τάχος μολοῦσα λέξον R. 946. εἰς Ἅιδου μολὼν R. 1372. ἦ μάθω μολοῦσα ποι; C. 26. οἱ μολόντες ἐς Θήβης πέδον C. 415. σφῷν δ' ἡτέρα μολοῦσα πραξάτω τάδε C. 497. μολὼν πρὸς τούσδε βωμοὺς C. 897. σοὶ φασὶν ἐς λόγους ἐλθεῖν μολόντ' αἰτεῖν C. 1164. ὡς τάχιστά μοι μολὼν ἄνακτα χώρας τῆσδέ τις πορευσάτω C. 1476. εἰς ἐπόψιον πάγον μολοῦσα C. 1601. Διρκαίων ὑπὲρ ῥεέθρων μολοῦσα A. 105. οἷ μολὼν δώσεις δίκην A. 228. Κρέοντι σημαίνει μολὼν A. 1208. πεύθου μολοῦσα τἀνδρὸς T. 387. τί χρὴ μολόντα μ' Ἡρακλεῖ λέγειν; T. 393. τὰ δ' ἀπ' ἀλλόθρου γνώμας μολόντ'

γόνας R. 1278. μυδῶν τε σῶμα γυμνώσαντες εὖ A. 410. μυδῶσα κηκὶς μηρίων A. 1008.

Μύδρος. ἦμεν δ' ἕτοιμοι καὶ μύδρους αἴρειν χερὶ A. 264.

Μύειν. μύσαντες δ' εἴχομεν θείαν νόσον A. 421. μύω τε καὶ δέδορκα I. T. LXXXI. 1. ἀντέτροφας ὅ τι καὶ μύσῃ T. 1010.

Μυελός. κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει T. 783.

Μυθεῖσθαι. ψυχὴ γὰρ ηὔδα πολλά μοι μυθουμένη A. 227. φλαῦρ' ἔπη μυθουμένου κλύειν Aj. 1162. τὰ δ' ἀλλ' ἐν Ἅιδου τοῖς κάτω μυθήσομαι Aj. 865. ὅπως κρύψεις τάφῳ, φράζον, τὸν ἄνδρα, χὤ τι μυθήσει τάχα Aj. 1041.

Μῦθος. τίν' ἥκεις μῦθον, Ἰσμήνη, πατρὶ φέρουσα; C. 357. βραχύν τιν' αἰτεῖ μῦθον C. 1162. οὐδ' ὁ μῦθος ἐν βραχεῖ φράσαι πάρεστι C. 1580. ἐμοὶ μὲν οὐδεὶς μῦθος ἵκετο A. 11. ἦν δ' ὁ μῦθος ὡς ἀνοιστέον σοὶ τοὔργον A. 272. ὅστις ἦν ὁ μῦθος, αὖθις εἴπατε A. 1190. τὸν πάρος μῦθον μάτην ἤκουσας T. 341. φάτιν, τὰν ὁ μέγας μῦθος ἀέξει Aj. 224. τοσόνδ' ἐκόμπει μῦθον Aj. 770. ὧδ' ὁ μῦθος ἑστάτω E. 50. οὐ γὰρ ἐν φίλοις ὁ μῦθος E. 638. μῦθος γὰρ Ἀργολιστὶ συντέμνειν βραχὺς Ulyss. II. 2. κἀξ ἀγεννήτων ἄρα μῦθοι καλῶς πίπτουσι T. 62. μύθοις εἴ τι πιστεύειν χρεὼν T. 67. ὑποβαλλόμενοι κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς Aj. 188. πρὶν ἂν τῶν ἡμετέρων ἀΐῃς μύθων P. 1410. σὺ δ' ἐμῶν μύθων ἐπάκουσον P. 1417. οὐκ ἀπιθήσω τοῖς σοῖς μύθοις P. 1447. ἠθάς εἰμί πως τῶν τῆσδε μύθων E. 372.

Μυκῆναι. ἵν' αἱ Μυκῆναι γνοῖεν, ἡ Σπάρτη τε P. 325. φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν E. 9.

Μυκηναῖος. ἁ κλεινὰ γᾶ Μυκηναίων E. 161. Μυκηναίων χθόνα E. 423.

Μυκτήρ. ἄρασα μυκτῆρας εἶρπεν ἔλαφος Aloadæ XII. 3. φλέγει δὲ μυκτὴρ Colch. V. 2.

Μύλη. οὑμὸς δ' ἀλέκτωρ αὐτὸν ἦγε πρὸς μύλην I. T. LXV. 2.

Μυριόκαρπος. φυλλάδα μυριόκαρπον C. 676.

Μυρίος. βαιοῦ κοὐχὶ μυρίου χρόνου C. 397. ἀντὶ μυρίων μίαν ψυχὴν C. 498. μυρίας ὁ μυρίος χρόνος τεκνοῦται νύκτας C. 616. μυρίαι πόλεις C. 1534. μόχθων μυρίων ἐγευσάμην T. 1103. μυρί' ἀπ' αἰσχρῶν ἀνατέλλων P. 1138. μυρίον ἄχθος P. 1168. τῷ γὰρ κακῶς πράσσοντι μυρία μία νὺξ ἐστι Naupl. III. 1.

Μῦρον. τεῦχος οὐ μύρου πνέον Ach. Conv. II. 3.

Μυρτίλος. ὁ ποντισθεὶς Μυρτίλος E. 507.

Μύσιος. Μυσίων ἀπὸ κρημνῶν Aj. 720. πόλις δὲ Μυσῶν Μυσία προσήγορος Mys. III. 2.

Μυσός. πόλις δὲ Μυσῶν Μυσία προσήγορος Mys. III. 2.

Μύσος. τοῦτ' ἀποσκεδῶ μύσος R. 138.

Μυχός. οὐ γὰρ ἐν μυχοῖς ἔτι A. 1293. ἐν μυχοῖς σώζειν T. 688. μέχρις οὗ μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ Aj. 571. ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ ψυχὴ P. 1013.

Μῶμος. οὐ γάρ ἐσθ' ὅπως σπουδῆς δικαίας μῶμος ἅψεται ποτε Thyest. II. 2.

Μωρία. μωρίαν ἰδὼν τίν' ἐν ἐμοί; R. 537. μώρῳ μωρίαν ὀφλισκάνω A. 470. ἔπη μωρίας πολλῆς πλέα Aj. 745. ἄνδρα μωρίας πλέων Aj. 1150. μωρία μάλιστ' ἀδελφὴ τῆς πονηρίας I. T. X. 4.

Μῶρος. μῶρα φωνήσων R. 433. ὡς μὲν σοὶ δοκεῖ, μῶροι R. 436. μῶρόν ἐστι τοὐγχείρημά σου R. 540. ὦ μῶρε C. 592. οὐκ ἔστιν οὕτως μῶρος A. 220. σοὶ δ' εἰ δοκῶ νῦν μῶρα δρῶσα τυγχάνειν, σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω A. 470. μῶρος δ' ἦν πάλαι κλύων σέθεν T. 414. μώραις δ' ἄγραις προσκείμεθα Aj. 407. μῶρά μοι δοκεῖς φρονεῖν Aj. 594. μῶρός ἐστ' ἀνὴρ Aj. 1374. ἢ φρονοῦσαν, ἢ μώραν λέγῃς E. 890. ὦ πλεῖστα μῶροι E. 1326.

N.

Νάβλον. οὐ νάβλα κωκύτοις φίλα I. T. LXIV.
Ναί. C. 27. 1746. T. 246. R. 372.
Ναιχί. R. 684.
Ναίειν. οὐδ' ἔνθα ναίεις, βλέπεις R. 414. ποῦ ναίει; C. 118. οὐ δύναμαι γνῶναι ποῦ μοί ποτε ναίει C. 137. ξένῳ παρ' ἀνδρὶ ναίομεν T. 39. πόθι μοι πόθι παῖς ναίει ποτέ; T. 99. ὦ κλεινὴ Σαλαμὶς, σὺ μὲν που ναίεις ἁλίπλαγκτος Aj. 597. αὐλὰς ποίας ἔνεδρος ναίει P. 153. νῆσος ἐφ' ἧς ναίει τὸ νῦν P. 613. νῦν ὑπὸ χεῖρα ναίεις E. 1092. ξὺν σοὶ κάτω ναίω τὸ λοιπὸν E. 1167. ὅσοιπερ πρόπυλα ναίουσιν τάδε E. 1375. ἔα με ναίειν ὄρεσιν R. 1451. ἔνθα χρὴ ναίειν ἐμὲ C. 812. οὐκ ἐᾷ τοιούσδ' ἀλήτας τῇδ' ὁμοῦ ναίειν πόλει C. 949. τὴν σὴν δ' ὁμοῦ ναίουσαν ὀργὴν οὐ κατεῖδες R. 338. ὁ Βακχεῖος θεὸς ναίων ἐπ' ἄκρων ὀρέων R. 1105. ναίοντες τούσδε τοὺς τόπους C. 64. ναίων παρ' Ἰσμηνοῦ ῥεέθρων A. 1123. ναίουσ' ἐνὶ Πλευρῶνι T. 7. τοὺς δ' ἂν τὸ Θήβης ἄστυ ναίοντας μάθοις T. 1157. ναίων ἐνθάδ' ὀλοῦμαι P. 1106. Δωδῶνι ναίων Ζεὺς ὁμέστιος βροτῶν Niptr. I. 2. Βουθοίη Δρίλωνος ἐπὶ προχοῇσιν ἐνάσθη Iphicles II. 1.
Νᾶμα. Κασταλίας τε νᾶμα A. 1130. δακρύων ῥήξασα θερμὰ νάματα T. 921. νᾶμα θεοφιλέστατον I. T. LXXXII. 8.
Ναμέρτεια. τῶνδε ναμέρτεια συμβαίνει χρόνου τοῦ νῦν παρόντος T. 173.
Νάξιος. Ναξίαις ἅμα περιπόλοισι A. 1150.
Ναός. ἐς τὸν Ἄβαισι ναὸν R. 899. Ἥρας ὁ κλεινὸς ναὸς E. 8. Παλλάδος διπλοῖς ναοῖς R. 20. ναοὺς ἱκέσθαι δαιμόνων R. 912. θεῶν δὲ ναοὺς χοροῖς παννύχοις πάντες ἐπέλθωμεν A. 152. ναοὺς πυρώσων ἦλθε A. 286.
Ναοφύλαξ. ναοφύλακες νυκτέρου ναυκληρίας Ach. Conv. VI. 1.
Ναπαῖος. ναπαίαις ἐν Κιθαιρῶνος πτυχαῖς R. 1026.
Νάπη. ὦ τρεῖς κέλευθοι, καὶ κεκρυμμένη νάπη R. 1398.
Νάπος. ἀφθέγκτῳ μὴ προσπέσῃς νάπει C. 157. πρός σε τοῦ κατ' ἄκρον Οἰταῖον νάπος Διὸς καταστράπτοντος T. 436. τίνος βοὴ πάραυλος ἐξέβη νάπους; Aj. 892.
Νάρκισσος. θάλλει δ' ὁ καλλίβοτρυς κατ' ἦμαρ αἰεὶ νάρκισσος C. 683.
Ναυάγιον. πᾶν δ' ἐπίμπλατο ναυαγίων Κρισαῖον ἱππικῶν πέδον E. 730. βίον λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις E. 1444.
Ναύαρχος. ναυάρχους μολεῖν ἡμᾶς Ἀχαιῶν Aj. 1232.
Ναυβάτης. ἰὼ φίλοι ναυβάται Aj. 348. οὐ γὰρ δὴ σύ γ' ἦσθα ναυβάτης ἡμῖν; P. 246. ναυβάτῃ στόλῳ P. 270. ταύτῃ πελάζει ναυβάτης οὐδεὶς ἑκὼν P. 301. νεὼς σῆς ναυβάτης P. 540. τί με κατὰ σκότον διεμπολᾷ λόγοισι πρός σ' ὁ ναυβάτης; P. 579. ἑπτὰ ναυσὶ ναυβάτην P. 1026.
Ναυκληρεῖν. δι' ὀρθῆς τήνδε ναυκληρεῖς πόλιν A. 994.
Ναυκληρία. ναοφύλακες νυκτέρου ναυκληρίας Ach. Conv. VI. 1.
Ναύκληρος. ναυκλήρου τρόπον μορφὴν δολώσας P. 128. πλέων γὰρ, ὡς ναύκληρος, οὐ πολλῷ στόλῳ P. 547.
Ναυκράτωρ. ὅδ' ἐστὶν ἡμῖν ναυκράτωρ P. 1072.
Ναύλοχος. ὦ ναύλοχα καὶ πετραῖα θερμὰ λουτρὰ T. 633. ναυλόχους λιπὼν ἕδρας Aj. 460.
Ναῦς. οὐδέν ἐστι πύργος, οὔτε ναῦς ἔρημος ἀνδρῶν R. 56. κυβερνήτην νέως R. 923. ναὸς ἐγκρατῆ πόδα A. 715. οὐ κώπαις ἐρέσσων οὔτε λαίφεσιν νέως T. 561. ὄχημα ναὸς T. 658. ναὸς ἀρωγοὶ τῆς Αἴαντος Aj. 201. εἰρεσίας ζυγὸν ποντοπόρῳ ναῒ μεθεῖναι Aj. 250. ναὸς κοινόπλουν ὁμιλίαν Aj. 872. τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ P. 125. ναὸς ἄξενον αὐγάζων ὅρμον P. 217. ἦλθόν με νηῒ ποικιλοστόλῳ μέτα P. 343. νῦν δ' εἶμι πρὸς ναῦν P. 461. ἐπ' εὐστόλου

ταχείας νεὼς πορεύσαιμι P. 516. *ἡ ναῦς γὰρ ἄξει* P. 527. *νεὼς σῆς ναυβάτης* P. 540. *νεὼς σῆς ξὺν δυοῖν ἄλλοιν φύλαξ* P. 543. *ἐγὼ μὲν εἶμ' ἐπὶ ναῦν* P. 627. *νεὼς ἄγοντα* P. 630. *ἡμᾶς πολὺ πέλαγος ὁρίζῃ τῆς Ὀδυσσέως νεὼς* P. 636. *τί τοῦθ' ὁ μή γε τῆς νεὼς ἐμῆς ἔνι;* P. 648. *ὁρμώμεθ' ἐς ναῦν* P. 881. *οὐπὶ νηῒ γὰρ ἅλις πόνος* P. 891. *τά τ' ἐκ νεὼς στείλωσι ναῦται* P. 1076. *ναῦς ἵν' ἡμῖν τέτακται* P. 1181. *ὁμοῦ νεὼς στείχων ἂν ἦν σοι τῆς ἐμῆς* P. 1218. *ναῦται δ' ἐμηρύσαντο νηὸς ἰσχάδα* I. T. XLI. 2. *οὐκ ἁλίκτυποι κελαιναὶ νᾶες ἐκφύγοιεν* A. 954. *πελάσαι φάος θοῶν ὠκυάλων νεῶν* Aj. 710. *πᾶν ἐστίβηται πλευρὸν ἕσπερον νεῶν* Aj. 874. *ἀμφὶ μὲν νεῶν πυρὸς φλέγοντος* Aj. 1276. *ὁρῶντα μὲν ναῦς ἃς ἔχων ἐναυστόλουν πάσας βεβῶσας* P. 279. *ἑπτὰ ναυσὶ ναυβάτην* P. 1026. *ναῶν τε ποιμαντῆρες* Naupl. V. 10.

Ναυστολεῖν. *ἐξ Ἰλίου γε ναυστολῶ* P. 245. *ναῦς, ἃς ἔχων ἐναυστόλουν* P. 279. *ἐπέσχον μή με ναυστολεῖν ταχὺ* P. 349. *εἶεν νεναυστοληκότες* P. 550. *ἵπποισιν, ἢ κύμβαισι ναυστολεῖς;* Amph. II.

Ναύτης. *ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν* Aj. 1143. *φίλοι δὲ ναῦται* P. 531. *ὡς ἤκουσα τοὺς ναύτας* P. 549. *ὥστε μή μ' ἄγειν ναύτην* P. 901. *τά τ' ἐκ νεὼς στείλωσι ναῦται* P. 1077. *ναῦται δ' ἐμηρύσαντο νηὸς ἰσχάδα* I. T. XLI. 2.

Ναυτικός. *πρὸς σκηναῖσι ναυτικαῖς* Aj. 3. *ἀμφὶ ναυτικοῖς ἑδωλίοις* Aj. 1277. *ναυτικὰ σκάφη* Aj. 1278. *τὸ ναυτικὸν στράτευμα* P. 58. *ναυτικῷ στόλῳ* P. 561.

Ναυτίλλεσθαι. *ὑπτίοις κάτω στρέψας τὸ λοιπὸν σέλμασιν ναυτίλλεται* A. 717.

Ναυτίλος. *παρεισδέδεγμαι, φόρτον ὥστε ναυτίλος* T. 537. *πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων* Aj. 1146. *ναυτίλος πλάτα* P. 220.

Νεάζειν. *ὁ μὲν νεάζων καὶ χρόνῳ μείων γεγὼς* C. 374. *τὸ γὰρ νεάζον ἐν τοιοῖσδε βόσκεται χώροισιν αὑτοῦ* T. 144.

Νεακόνητος. *νεακόνητον αἷμα χεροῖν ἔχων* E. 1394.

Νεανίας. *στρατός δ' ἀνωλόλυξε τὸν νεανίαν* E. 750. *οἱ δ' αὐθόμαιμοι ποῦ νεανίαι πονεῖν;* C. 335.

Νεᾶνις. *ὃς ἐν μαλακαῖς παρειαῖς νεάνιδος ἐννυχεύεις* A. 784. *τίς ποτ' εἶ νεανίδων;* T. 307.

Νεαρός. *νεαραῖσι θεῶν ἐπὶ ξυντυχίαις* A. 157.

Νεηκονής. *σιδηροβρῶτι θηγάνῃ νεηκονὴς σφαγεὺς* Aj. 820.

Νεῖκος. *τί γὰρ ἢ Λαβδακίδαις ἢ τῷ Πολύβου νεῖκος ἔκειτο;* R. 490. *νεῖκος εὖ θέσθαι* R. 633. *εἰ σαφῶς τὸ νεῖκος ἐγκαλῶν ἐρεῖς* R. 702. *σὺ καὶ τόδε νεῖκος ἀνδρῶν ξυναίμων ἔχεις ταράξας* A. 793. *Πολυνείκης ἀρθεὶς νεικέων ἐξ ἀμφιλόγων* A. 111. *Αἴας μετεγνώσθη θυμὸν Ἀτρείδαις μεγάλων τε νεικέων* Aj 708.

Νεῖσθαι. *δεῦρο νεῖσθαι ταῦτα τοῖσι μὴ εἰδόσι σαφῆ προκηρύξοντα* A. 33.

Νεκρός. *Λάϊον πάλαι νεκρὸν* R. 1245. *νεκρῶν πλάκα* C. 1564. *νεκρῶν πλάκας* C. 1577. *εἰ τὸν νεκρὸν ξὺν τῇδε κουφιεῖς χερὶ* A. 43. *ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς* A. 197. *τοῦ νεκροῦ γ' ἐπίσκοποι* A. 217. *τὸν νεκρὸν θάψας* A. 244. *πρόνοιαν ἴσχειν τοῦδε τοῦ νεκροῦ πέρι* A. 283. *θάπτουσαν ὃν σὺ τὸν νεκρὸν ἀπεῖπας* A. 404. *οὔτ' ἐν βροτοῖς οὔτ' ἐν νεκροῖσι μέτοικος* A. 851. *ἐν νεκροῖς* A. 893. *νέκυν νεκρῶν ἀμοιβὸν* A. 1067. *ἔμψυχον ἡγοῦμαι νεκρὸν* A. 1167. *κεῖται δὲ νεκρὸς περὶ νεκρῷ* A. 1240. *τοῦδε παμμήτωρ νεκροῦ* A. 1282. *τὸν δ' ἔναντα προσβλέπω νεκρὸν* A. 1298. *νεκρῶν ἐρειφθεὶς ἕξετ' ἀρνείου φόνου* Aj. 309. *νεκρὸν χεροῖν μὴ ξυγκομίζειν* Aj. 1047. *δυστήνου νεκροῦ τάφον* Aj. 1170. *εἰ δέ τις στρατοῦ βίᾳ σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ* Aj. 1176. *βοὴν Ἀτρειδῶν τῷδ' ἐπ' ἀλκίμῳ νεκρῷ* Aj. 1319. *νεκρὸν ταφῆς ἄμοιρον* Aj. 1326. *τὸν νεκρὸν θάπτειν ἐᾷν* Aj. 1364. *χρῆν ἀντὶ τουτῶν αὐτὸν αὐδᾶσθαι νεκρὸν* P. 430. *ἐναίρων νεκρὸν* P. 946. *ἐν ζῶσιν νεκρὸν* P. 1018. *ὁρῶν νεκρὸν* E. 1461. *νεκρὸς τάριχος εἰσορᾷν Αἰγύπτιος* Phineus III. *βομβεῖ δὲ νεκρῶν σμῆνος* I. T. XXXV.

Νέκυς. *οὑμὸς εὕδων καὶ κεκρυμμένος νέκυς ψυχρὸς* C. 621. *Πολυνείκους νέκυν* A. 26. *κόνις κατεῖχε τὸν νέκυν* A. 410. *ψιλὸν ὡς ὁρᾷ νέκυν* A. 26.

χόαισι τρισπόνδοισι τὸν νέκυν στέφει A. 431. ἄθαπτον ἐσχόμην νέκυν A. 467. ὁ κατθανὼν νέκυς A. 515. νέκυν νεκρῶν ἀμοιβὸν A. 1067. ἀνόσιον νέκυν A. 1071. ἐχθρὸν ὧδ' αἰδεῖ νέκυν Aj. 1356. εἴ σοι προσφιλὴς αὐτῇ δοκεῖ γέρα τάδ' οὖν τάφοισι δέξασθαι νέκυς E. 443. κεῦθος νεκύων A. 818.

Νεμέα. Νεμέας λέοντ' ἔνοικον T. 1094.

Νέμειν. γῆς κράτη τε, καὶ θρόνους νέμω R. 237. τάνδ' ἄρ' οὐκ ἔτι νέμω πόλιν C. 879. ἦ καὶ τὸ πιστὸν τῆς ἀληθείας νέμεις; T. 398. εἴ τι τήνδ' ἁμαρτίαν νέμεις T. 483. τοιαῦτα νέμει Ζεὺς T. 1024. τὴν δ' οὖν ἐκείνῳ πᾶς τις αἰτίαν νέμει Aj. 28. ὅσον κακὸν κείνῳ τε κἀμοὶ τοῦθ', ὅταν θάνῃς, νέμεις Aj. 513. φίλον σ' ἐγὼ μέγιστον Ἀργείων νέμω Aj. 1331. ἃ Πακτωλὸν εὔχρυσον νέμεις P. 393. οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι; P. 1020. Νιόβη, σ' ἔγωγε νέμω θεὸν E. 150. σὲ δεσπότιν ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω E. 598. νέμει τις; Οὐ πάρεστι Ach. Conv. V. 3. Νῦσαν, ἣν ὁ βούκερως Ἴακχος αὐτῷ μαῖαν ἡδίστην νέμει I. T. XCIV. 3. εἰ πατρὸς νέμοι τιν' ὥραν τοῦ καλῶς πράσσειν δοκεῖν T. 57. ἣν τέκνοις μοῖραν πατρῴας γῆς διαίρετον νέμοι T. 163. εἰ νέμοι τις αἵρεσιν A. 265. ὡς τὰ σὰ κράτη νέμοιμι A. 1016. σοὶ μὲν νέμοιμ' ἂν τῇσδε καὶ μείζω χάριν A. 1371. χέρνιβας νέμειν R. 240. εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν Aj. 1351. ἀντίπλευρον κῆπον Εὐβοίας νέμειν Aeg. I. 3. ἀστραπᾶν κράτη νέμων R. 201. γῆς ἴσον νέμων R. 579. ἐμαυτὸν παῖδα τῆς Τύχης νέμων R. 1080. ᾧ τὸν ὑπεραλγῆ χόλον νέμουσα E. 176. οἷς οὔτε δαίμων, οὔτε τις θεῶν νέμων πλοῦτον, ποτ' ἂν νείμειεν ἀξίαν χάριν Scyr. IV. 2. τάχ' ἂν τὸ σὸν γέρας τιμὴν ἐμοὶ νείμειεν P. 1062. πρεσβεῖα νείμας τῇσδε γῆς Aeg. I. 2. τῶν νεμόμεσθ' ἀνέρες ἀλφησταὶ P. 708.

Νεμέσητος. οὔ τοι νεμέσητον καὶ παρὰ νοῦν θροεῖν P. 1183.

Νέμεσις. πενθεῖν οὐ χρή, νέμεσις γὰρ C. 1753. τὰν ἐκ θεῶν νέμεσιν ἐκφυγὼν P. 518. θεῶν βία καὶ νέμεσις P. 602. ἄκουε, Νέμεσι τοῦ θανόντος ἀρτίως E. 792. εἰ δ' ἔπεστι Νέμεσις, οὐ λέγω E. 1466.

Νέμος. ἰὼ νέμος ἐπάκτιον Aj. 413.

Νεογνός. οἷος νεογνῆς νεοπόκῳ μαλλῷ C. 475.

Νεόποκος. οἷος νεογνῆς νεοπόκῳ μαλλῷ C. 475.

Νεοπτόλεμος. Ἀχιλλέως παῖς Νεοπτόλεμος P. 241.

Νεόρραντος. ξὺν νεορράντῳ ξίφει Aj. 30. 828.

Νεόρρυτος. νεορρύτους πηγὰς γάλακτος E. 894.

Νέορτος. τί δ' ἐστὶν, ὦ παῖ Λαΐου, νέορτον αὖ; C. 1507. νέορτος ἅδε νύμφα T. 896. τὰν νέορτον Ἑρμιόναν Hel. IV. 1.

Νέος. Κάδμου τοῦ πάλαι νέα τροφὴ R. 2. ἢ νέον ἢ περιτελλομέναις ὥραις πάλιν R. 155. ὅδ' ἐστὶ κεῖνος, ὃς τότ' ἦν νέος R. 1145. ἐξ ὅτου νέας τροφῆς ἔληξε C. 345. οὔτε νέος οὔτε γήρᾳ σημαίνων C. 702. γέροντα δ' ὀρθοῦν φλαῦρον, ὃς νέος πέσῃ C. 395. πιθοῦ μοι, κεἰ νέα παραινέσω C. 1181. νέα τάδε νεόθεν ἦλθέ μοι κακὰ C. 1447. τῷ, κατὰ γᾶς, ὃς νέον ἔρρει C. 1755. εὖτ' ἂν τὸ νέον παρῇ C. 1219. τι σημαίνων νέον A. 242. εἰ δ' ἐγὼ νέος A. 728. εἴρηκας τόδ' ὡς ἄγαν νέος A. 735. τί δ' ἐστὶν, ὦ γεραιὲ Τειρεσία, νέον; A. 991. νέων γάμων T. 845. νέους θανάτους T. 1278. νέον ἄλγος ἔχει Aj. 249. νέας τροφῆς στερηθεὶς Aj. 510. νέαν ψυχὴν ἀτάλλων Aj. 558. νεὰς βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις Aj. 735. καὐτὸς ὢν νέος ποτὲ P. 90. καί τι προσδοκῶ νέον P. 784. φροντίδας νέας P. 211. νέα βουλεύματα P. 554. μῶν τι βουλεύει νέον; Νέον μὲν οὐδὲν P. 1230. φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους Scyr. II. ὕβρις νέοις ἀνθεῖ I. T. XLVII. 3. σελήνης ὄψις ἔρχεται νέα I. T. LIV. 5. νέος πέφυκας I. T. CI. 1. ὢν φύσει νεώτερος C. 1295. νεωτέρῳ τῳ τοῦτο βαστάζειν πρόθες A. 216. κἀπ' ἐμοῦ νεωτέρου γνώμη πρόσεστι A. 719. ἵνα τὸν θυμὸν οὗτος ἐς νεωτέρους ἀφῇ A. 1088. τῆς νεωτέρας ἀνὴρ T. 551. παίδων τῶν σῶν νέατον γέννημα A. 626. νεάταν ὁδὸν A. 806. νέατον φέγγος A. 807. τίς ἄρα νέατος ἐς πότε λήξει

ἂν Aj. 1343. τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι E. 1043. πέρα πράσσειν τῶν νόμων E. 1506. νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις I. T. XIX. 3.

Νομός. Οἰάτιδος ἐκ νομοῦ C. 1061.

Νοσεῖν. νοσεῖτε πάντες, καὶ νοσοῦντες ὡς ἐγὼ οὐκ ἔστιν ὑμῶν ὅστις ἐξ ἴσου νοσεῖ R. 60. νοσεῖ δ' ἐμοὶ πρόπας στόλος R. 169. μεῖζον ἢ κατ' ἄνθρωπον νοσεῖς C. 598. ταῦτα σῆς ἐκ φρενὸς νοσεῖ πόλις A. 1015. νοσεῖ μὲν νόσον ἀγρίαν P. 173. νοσεῖς τόδ' ἄλγος P. 1326. τὰ μὲν ἐκ δόμων νοσεῖ E. 1071. ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ I. T. X. 5. ὅστις ἐξ ἀλαστόρων νοσοῖ T. 1237. νοσεῖν ἀνὴρ ἔοικε Aj. 337. στέγη πυρὸς μέτα πάντ' ἐκπορίζει, πλὴν τὸ μὴ νοσεῖν ἐμὲ P. 299. μόνῳ δὲ χαίρειν ἢ νοσεῖν ἐξουσία ξύνεστιν αὐτῷ Aloadæ XI. 11. ἐμοὶ δ' οὐδεὶς δοκεῖ εἶναι, πένης ὤν, ἄνοσος, ἀλλ' αἰὲν νοσεῖν Creusa IV. 7. οἰκείοις κακοῖς νοσοῦντα C. 766. ἅλις νοσοῦσ' ἐγὼ R. 1061. γῆς οὕτω νοσούσης R. 636. νοσοῦντι ληρεῖν ἀνδρὸς οὐχὶ σώφρονος T. 435. νοσοῦντι πολλὰ τῇδε τῇ νόσῳ T. 544. τοῦ μὲν νοσοῦντος, τοῦ δὲ διαπεπραγμένου T. 786. ἐπὶ τῷδε νοσοῦντι οὐ πῦρ οὐκ ἔγχος τις ὀνήσιμον οὐκ ἀπότρεψει T. 1015. τὸ μὲν νοσοῦντι θυμοῦσθαι, κακὸν T. 1232. ἡμεῖς ἄρ' οὐ νοσοῦντες ἀτώμεσθα νῦν Aj. 269. πεπαυμένος μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται Aj. 280. ὅταν νιν νοσοῦντ' ἀκούσῃ Aj. 625. νοσῶν μάτην Aj. 635. νοσῶν ἀνὴρ κῶλον παλαιᾷ κηρὶ P. 41. θολερῷ κεῖται χειμῶνι νοσήσας Aj. 207.

Νοσήλεια. βαρείας του νοσηλείας πλεὰ ῥάκη P. 39.

Νόσημα. ἔκλυσιν νοσήματος R. 307. τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν R. 1293. τοῖς πάλαι νοσήμασι ξυνοῦσι λυπεῖσθαι Aj. 338. δεινόν γε τοὐπίσαγμα τοῦ νοσήματος P. 754. δυσχέρεια τοῦ νοσήματος P. 900. νόσημ' ἔρωτος τοῦτ', ἐφίμερον κακὸν Achill. Amat. I. 1.

Νόσος. νόσου παυστήριος σωτὴρ θ' ἵκοιτο R. 150. νόσῳ θ' ὑπηρετεῖν R. 217. πόλις νόσῳ ξύνεστι R. 303. νόσου ξυναλλαγὴ R. 960. οἶδα μήτε μ' ἂν νόσον, μήτ' ἄλλο πέρσαι μηδὲν R. 1455. δευτέραν ἔπαισας ἐπὶ νόσῳ νόσον C. 544. μύσαντες δ' εἴχομεν θείαν νόσον A. 421. οὐχ ἥδε γὰρ τοιῷδ' ἐπείληπται νόσῳ; A. 732. ταύτης νόσου πλήρης ἔφυς A. 1052. ἔχεται πόλις ἐπὶ νόσου A. 1141. οὐ νόσῳ βαρὺν T. 234. νόσον γ' ἐπακτὸν ἐξαιρούμεθα T. 491. νοσοῦντι πολλὰ τῇδε τῇ νόσῳ T. 544. κέχυται νόσος T. 855. ἀναστήσεις φοιτάδα δεινὴν νόσον T. 981. διολοῦσ' ἡμᾶς ἀγρία νόσος T. 1031. οὔτ' ἀγύμναστόν μ' ἐᾷν ἐοίκεν ἡ νόσος T. 1086. δείξω δὲ τήνδε σοὶ νόσον Aj. 66. ἡνίκ' ἦν ἐν τῇ νόσῳ Aj. 270. ἔληξε κἀνέπνευσε τῆς νόσου Aj. 274. ἐμβαλοῦσα λυσσώδη νόσον Aj. 452. νόσῳ καταστάζοντα διαβόρῳ πόδα P. 7. νοσεῖ μὲν ἀγρίαν νόσον P. 173. ἡ δ' ἐμὴ νόσος ἀεὶ τέθηλε P. 259. ἀγρίᾳ νόσῳ καταφθίνοντα P. 266. ὅστις νόσῳ κάμνοντι συλλάβοιτο P. 281. βόσκων νόσον κακοῖσι P. 313. καί σε δαίμονες νόσου μεταστήσειαν P. 463. ὅταν σὺ πλησθῇς τῆς νόσου ξυνουσίᾳ P. 520. ὁ γὰρ νόσος ποθεῖ σε ξυμπαράστατην λαβεῖν P. 675. μῶν ἄλγος ἴσχεις τῆς παρεστώσης νόσου; P. 734. τὸ πῆμα τῆς νόσου P. 765. πῶς ἴσον χρόνον τρέφοιτ' ἂν τήνδε τὴν νόσον P. 795. δοκοῖμ' ἂν τὴν νόσον πεφευγέναι P. 1044. νόσου βαρείας παῦλαν P. 1330. νόσου μαλαχθῇς τῆσδε P. 1334. ἀποσώσαντες νόσου P. 1379. νόσου παύσει λυγρᾶς P. 1424. παυστῆρα σῆς νόσου P. 1438. ἐκείνης ὕπνος ἰατρὸς νόσου Eriph. VI. μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον Ter. IV. 4. νόσοισιν ἔφθιτο R. 963. οὐδὲ σὺν νόσοις ἀλγεινὸς ἐξεπέμπετο C. 1663. νόσων δ' ἀμηχάνων φυγὰς ξυμπέφρασται A. 363. οὔτε φθινάσιν πληγεῖσα νόσοις A. 819. τίς θυμός, ἢ τίνες νόσοι; T. 884. φοιτῶντα μανιάσιν νόσοις Aj. 59. τίκτουσι καὶ νόσους δυσθυμίαι Tyro XII. νόσους ἀνάγκη τοὺς θεηλάτους φέρειν Phædr. VIII. 3. ὁ θάνατος λοῖσθος ἰατρὸς νόσων Philoct. ad Troj. I.

Νοστεῖν. μήτε νοστῆσαί ποτε τὸ κοῖλον Ἄργος C. 1387.

Νόστος. εἴ τις ὑμῖν ἐς δόμους νόστος

γένηται C. 1409. *ἰώ μοι ἐμῶν νόστων* Aj. 900. *ἢ 'πὶ φορβῆς νόστον ἐξελήλυθε* P. 43. *νόστου σωτῆρας* P. 1471. *οἰκτρὰ μὲν νόστοις αὐδᾷ* E. 193. *Ζεὺς ἐπὶ νόστον ἄγει 'Ατρείδαν* I. T. LXXXVI. 1.

Νοσφίζειν. *Πάριν τόξοισι νοσφιεῖς βίον* P. 1427. *οὔτ' ἔρξας τιν', οὔτε νοσφίσας* P. 684. *εἴ σε νοσφίζομαι* R. 693.

Νότος. *πέραν πόντου χειμερίῳ νότῳ χωρεῖ* A. 335. *ᾄξας ὀξὺς νότος ὡς* Aj. 258. *πληγῇσι νότου ἐτέγχθην* P. 1456. *τῆσδε γῆς τὸ πρὸς Νότον* Aeg. I. 3.

Νουθετεῖν. *νουθετεῖς ἐμὲ ἐλθὼν* P. 1283. *νουθετεῖ τις εὐνοίᾳ λέγων* P. 1322. *οὐχὶ συνδράσουσα νουθετεῖς τάδε* E. 1025. *ὅταν μάθῃς μου, νουθέτει* C. 592. *τοιαῦτ' ἄνολβον ἄνδρ' ἐνουθέτει* Aj. 1156. *νουθετούμενοι φίλων ἐπῳδαῖς* C. 1193.

Νουθέτημα. *ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα κείνης διδακτὰ* E. 343.

